


v

ARATI
PHAENOMENA
ET
DIOSEMEA

CUM ANNOTATIONE CRITICA

EDIDIT

PHILIPPUS BUTTMANNUS FIL.

BEROLINI
APUD [illegible]
MDCCC[illegible]
TYPIS AC[illegible]

PRAEFATIO.

In adornanda hac editione, quam facile parabilem esse volebam, hoc solum spectavi ut contextus quantum fieri posset emendatus prodiret, in annotatione autem lectionum receptarum rationem redderem. Explicationem itaque ne illorum quidem locorum tentandam censebam, qui ea indigerent: nisi ubi ad ipsam criticam textus constitutionem aliqua rerum quoque et sermonis ratio esset habenda: unde factum ut paucula etiam in excursuum molem excrescerent. Poterat autem jamdudum melior fieri Arati contextus, si Buhlius editor illis codicum opibus, quae ipsi ad manus fuerunt, quasque apposuit tantum, revera uti voluisset. Quam provinciam suscepit anno praeterito vir optimus mihique summopere dilectus Jo. Henr. Vossius, cujus opera in hoc quoque ge-

nere omnibus satisfaceret, nisi severiorum, quas nos quidem reliqua philologorum cohors reveremur, legum impatiens nimis ubique ex arbitrio in verbis auctoris refingendis, quin etiam in grammatices quibusdam regulis dijudicandis ageret. Quo tamen usus editionis illius cetera egregiae neutiquam tollitur, modo in manus vel eruditas vel cautas venerit. Certe summa equidem cum voluptate, nec sine fructu perlegi doctam et acutam venerandi senis harum rerum tractationem, meque illius judicio saepenumero usum esse gratus confiteor.

Ceterum aliquanto instructior ad hunc laborem accessi, cum per amicitiam Immanuelis Bekkeri uti mihi licuerit collectione variarum lectionum, quas e Gallicarum ille et Italicarum bibliothecarum codicibus nota diligentia excerpsit. Integras tamen has copias, pleniori editioni reservandas, hic non exhibeo; sed eas tantum in annotatione lectiones apposui, quae vel olim vulgatae, nunc desertae sunt, vel in codicibus etiamnum servatae, quaqua de causa observatu dignae, quin fortasse etiam recipiendae visae sunt: quod

postremum genus, sicut etiam conjecturas quasdam meas, vel probabiles aliorum, ipsa scriptura distinxi. Codices, qui lectionem aliquam, a me sive receptam sive tantum memoratam, praebent, si sunt e Bekkerianis, aliquando diligentius indicavi: ceteros jam notos, minus: et in variante lectione saepe sola sigla γρ. defungor, qua ad pleniores commentarios, quos infra memorabo, lectorem ablego.

Jam ipsorum *Codicum*, praemissis siglis quibus eos significare soleo, recensum addam. Sunt autem hi:

Mosc. Moscuensis, et

Vrat. Vratislaviensis; quorum integram varietatem suo commentario inseruit Buhlius.

Barb. Barberinianus Romae; cujus multae quidem sed non omnes lectiones prostant ibidem.

Vind. Vindobonensis; cujus varietas integra seorsim tomo Buhlianae editionis secundo inserta est.

Palat. Palatinus Heidelbergae, cujus varietatem integram edidit Matthiaeus: vid. infra.

Sequuntur codices a Bekkero collati, et primum quidem

PARISIENSES.

Par. A est cod. regius 2403.

— *B* — — — 2726.

— *C* — — — 2728.: quem codicem etsi non valde antiquum esse refert Bekker, plerumque a melioribus lectionibus stantem, nonnullasque ejusmodi etiam solum aut cum paucis exhibentem expertus sum.

— *D* — — — 2841.: quem prae ceteris antiquum praedicat Bekker.

— *E* — — — 2842.

— *F* — — — 2843.

— *G* — — — 2860.

ITALICI.

Vat. 1. est Vaticanus 1307. perantiquus.

Vat. 2. — — — 1910.; codex, quantum e lectionum indole aestimare licet, omnium optimus, peculiaria quoque non-

nulla praebens, de quibus judicium inhibeo adhuc: vid. e. g. vers. 179. 312. 521. 523. Sed desinit praestans hic codex in v. 642.

Cas. Casanatensis e Bibl. Ord. Praedicatorum Romae.

Laur. Laurentianus Florentiae.

Ven. 1. Venetus e Bibl. S. Marci 476.

Ven. 2. — — — — — 480.

Praeterea e *Scholiis*, etiam e libellis astronomicis *Hipparchi* et *Achillis Tatii*, denique e latinis translationibus *Ciceronis*, *Germanici* et *Avieni* multa ad constituendum Arati contextum derivantur: de quibus omnibus verbo plerumque monentes, studiosos de his quoque ad pleniores editiones mittimus. Quae sunt: 1) *Hug. Grotii* Syntagma Arateorum L. B. 1600. 4º editio commentariis instructa doctis et hodieque utilibus. 2) Ed. *J. H. Buhlii* Lips. 1793. 8º II. Voll. Insunt scholia graeca, et tres antiqui interpretes latini; Leontius de Sphaera Aratea; alia. Annotatio critica varietatem lectionis exhibet ex antiquioribus editionibus et quattuor mss. supra indicatis. 3) Ed.

F. C. Matthiaei Ff. 1817. 8º juncta Eratosthenis Catasterismis et Dionysii Periegesi. Exhibet haec ed. criticam Buhlii supellectilem omnem, meliori ordine, et addita seorsim varietate codicis Palatini. 4) Ed. *J. H. Vossii* Heidelb. 1824. 8º de qua dixi superius: additam autem habet translationem germanicam carmine heroico confectam, et commentarios rerum mythologicarum, criticarum et grammaticarum refertissimos.

Berolini mense Decembri MDCCCXXV.

ARATI PHAENOMENA.

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
Ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα
Καὶ λιμένες· πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
Τοῦ γὰρ καὶ γένος εἰμέν· ὁ δ' ἤπιος ἀνθρώποισιν
Δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
Μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη
Βουσί τε καὶ μακέλῃσι· λέγει δ' ὅτε δεξιαὶ ὧραι
Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.
Αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
Ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
Ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
Ἀνδράσιν ὡράων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
Τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.
Χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ,
Αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ Μοῦσαι
Μειλίχιαι μάλα πᾶσιν· ἐμοί γε μὲν ἀστέρας εἰπεῖν
Ἧι θέμις εὐχομένῳ τεκμήρατε πᾶσαν ἀοιδήν.
Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἰόντες

---

10. τάγε. Sic plur. et opt. Vulgo τάδε 13. Mosc. Par. F ὡραίων Clem. Al. φύηται 17. Vulgo πᾶσαι. Reposui πᾶσιν ex Vind. et Schol. Eo respicit γὲ μὲν, quod valet *autem*: vid. Excurs. I, 6. 18. γρ. Εἰ 19. Vulgo ἐόντες. Sed ἄλλοσε εἶναι, hoc quidem sensu, graecum non est. Itaque adoptavi lectionem in schol. memoratam. Via est sua cuique stellae peculiaris, qua tendentes

Οὐρανῷ ἕλκονται πάντ᾽ ἤματα συνεχὲς αἰεί·
Αὐτὰρ ὅγ᾽ οὐδ᾽ ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ᾽ αὔτως
Ἄξων αἰὲν ἄρηρεν· ἔχει δ᾽ ἀτάλαντον ἁπάντη
Μεσσηγὺς γαῖαν, περὶ δ᾽ οὐρανὸν αὐτὸν ἀγινεῖ.
Καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν·
Ἀλλ᾽ ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ᾽ ἀντίος ἐκ βορέαο
Ὑψόθεν ὠκεανοῖο· δύω δέ μιν ἀμφὶς ἔχουσαι
ΑΡΚΤΟΙ ἅμα τροχόωσι, τὸ δὴ καλέονται ἉΜΑΞΑΙ.
Αἱ δ᾽ ἤτοι κεφαλὰς μὲν ἐπ᾽ ἰξύας αἰὲν ἔχουσιν
Ἀλλήλων, αἰεὶ δὲ κατωμάδιαι φορέονται,
Ἔμπαλιν εἰς ὤμους τετραμμέναι. Εἰ ἐτεὸν δή,
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι
Οὐρανὸν εἰσανέβησαν, ὅ μίν ποτε κουρίζοντα,
Δίκτῳ ἐν εὐώδει, ὄρεος σχεδὸν Ἰδαίοιο,
Ἄντρῳ ἐγκατέθεντο καὶ ἔτρεφον εἰς ἐνιαυτὸν,
Δικταῖοι Κούρητες ὅτε Κρόνον ἐψεύδοντο.
Καὶ τὴν μὲν ΚΥΝΟΣΟΥΡΑΝ ἐπίκλησιν καλέουσιν,
Τὴν δ᾽ ἑτέρην ἙΛΙΚΗΝ. Ἑλίκῃ γε μὲν ἄνδρες Ἀχαιοὶ
Εἰν ἁλὶ τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν·
Τῇ δ᾽ ἄρα Φοίνικες πίσυνοι περόωσι θάλασσαν.
Ἀλλ᾽ ἡ μὲν καθαρὴ καὶ ἐπιφράσσασθαι ἑτοίμη
Πολλὴ φαινομένη Ἑλίκη πρώτης ἀπὸ νυκτός·
Ἡ δ᾽ ἑτέρη ὀλίγη μὲν, ἀτὰρ ναύτῃσιν ἀρείων.
Μειοτέρῃ γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι·
Τῇ καὶ Σιδόνιοι ἰθύντατα ναυτίλλονται.
Τὰς δὲ δι᾽ ἀμφοτέρας οἵη ποταμοῖο ἀποῤῥὼξ
Εἰλεῖται μέγα θαῦμα, ΔΡΑΚΩΝ, περί τ᾽ ἀμφί τ᾽ ἐαγὼς

---

caelo moventur (ἕλκονται). 23. οὐρανὸν Voss. cui acc. Par. F, Ven. 1. Vulgo οὐρανὸς 31. Mosc. μεγάλου (οιο) ἔηητι 32. γρ. τότε, relatum ad ὅτε v. 35. 36. γρ. Οἳ τὴν

Μυρίος· αἱ δ' ἄρα οἱ σπείρης ἑκάτερθε φέρονται
Ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.
Αὐτὰρ ὅγ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ,
Ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
Οὐρὴ πὰρ κεφαλὴν Ἑλίκης ἀποπαύεται Ἄρκτου·
Σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν
Εἰλεῖται κεφαλήν, καί οἱ ποδὸς ἔρχεται ἄχρις,
Ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν ἐκείνη
Οἰόθεν, οὐδ' οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ·
Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν· εἷς δ' ὑπένερθεν
Ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.
Λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
Ἄκρην εἰς Ἑλίκης οὐρήν· μάλα δ' ἐστὶ κατ' ἰθύ,
Καὶ στόμα, καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
Κείνη που κεφαλὴ τῇ νήχεται, ἧχί περ ἄκραι
Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.
Τῆς δ' ἀγχοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὸς
Εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν,

---

47. Barb. ἐν δ' ἄρα; alli ἐκ —; tum plerique φύονται. Sane ἐν — φύονται aliquam habet veritatem; praestat tamen αἱ — φέρονται, quod est in optimo cod. Vat. 2. et al. 49. γρ. ἀποτείνεται : ἀποτέμνεται 50. Schol. Mosc. γρ. περιτέλλεται. Cf. 543. Quam sint digammi observantes hi poetae, ex ipsorum monumentis non pro arbitrio refictis existimari debet: Itaque iambum μέν οἱ intactum reliqui hic et 485. et 708. ubi vid. not.

54. Barb. Laurent. αὐτῆς : cf. 641. παλίνορσος. Vid. ad 452. Mox ἐκείνη scripsi loco dativi, qui est in vulgata. Junge: οὐ μὲν ἐκείνη (spira) οἰόθεν, οὐδ' ἐπὶ κεφαλῇ οἶος ἀστὴρ λάμπεται. Nam in omnibus hisce, κεφαλῇ ἐπιλάμπεται, οὐρανὸν εἰσανέβησαν (32), ποσσὶν ὑποσκέψαιο (96), οὐρὴν ὑποφαίνεται (140), εὐρέοιο περισκοπέειν (435) et sim. praepositio mente separari debet, etsi constantiae causa junctim haec, ut tradita sunt, scribo. 60. νειάτῳ οὐρῇ. Cf. 625. item Hymn. Cer. 157. κατὰ πρώτιστον ὀπωπήν. 61. νήχεται. Vulgatam hanc lectionem, quam praeter schol. confirmant etiam Mosc. et Par. G, ob imaginis praestantiam vindicavi contra ceterorum omnium νίσσεται, νείσεται.

Οὐδ᾽ ὅτινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν αὔτως
ΕΓΓΟΝΑΣΙΝ καλέουσι. τὸ δ᾽ αὖτ᾽ ἐν γούνασι κάμνον
Ὀκλάζοντι ἔοικεν· ἀπ᾽ ἀμφοτέρων δέ οἱ ὤμων
Χεῖρες ἀείρονται· τάνυταί γε μὲν ἄλλυδις ἄλλη
Ὅσσον ἐς ὀργυιήν· μέσσῳ δ᾽ ἐφύπερθε καρήνῳ
Δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.
Αὐτοῦ κἀκεῖνος ΣΤΕΦΑΝΟΣ, τὸν ἀγαυὸν ἔθηκεν
Σῆμ᾽ ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης,
Νώτῳ ὑποστρέφεται κεκμηότος Εἰδώλοιο.
Νώτῳ μεν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
Σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον, ἐκ δ᾽ ἄρ᾽ ἐκείνης
Αὐτὸν ἐπιφράσσαιο φαεινόμενον ΟΦΙΟΥΧΟΝ·
Τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
Εἴδονται· κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
Εἰσωποὶ τελέθοιεν· ἀτὰρ χέρες οὐ μάλα ἶσαι·
Λεπτὴ γὰρ καὶ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
Ἀλλ᾽ ἔμπης κἀκεῖναι ἐπόψιαι· οὐ γὰρ ἐλαφραί·

---

65. ὅτινι Par. D, Ven. 1. Vulgo ὤτινι vel τινι   66. *Fort.* αὖθ᾽ ἐνὶ γούνατι   70. Δεξιτεροῦ. Contradicere hoc non solum sphaerae, sed ipsis quae infra 272. et aliis locis Aratus prodit, Hipparchus et ante eum Attalus observarunt. Tamen Hipparchus non erroris arguit Eudoxum, quique eum sequatur, Aratum; sed negligentiae: voluisse enim illos hic quoque sinistrum pedem nominare. Quod sane permirum: et absque Eudoxo esset, cuius verba hodie non legimus, Arati versum iam olim adulteratum fuisse suspicarer, dedisseque illum Λὰξ ἑτέρου ποδὸς (cf. Homerica λὰξ ποδί, λὰξ ἐν στήθεσι βαίνων): is enim, ut sciunt qui sphaeram norunt, ad vivum est huius signi iconismus. Nunc in vulgata scriptura acquiescendum; Germanicus autem, qui habet, *Dextro namque genu nixus — Serpentis capiti figit vestigia scaeva,* Arati lapsum correxisse statuendus est.

71. γρ. ἀγαυὸς   73. γρ. ἐπιστρέφεται   79. Hipparch. μάλ᾽ ἶσαι   80. Vulgo Λ. γὰρ τῇ καὶ τῇ ἐξεπιδέδρ. Sed ἐξ deest in plerisque; et ipsum quod e conj. Vossius, illumque secuti nos, dedimus, repertum est in Par. D et Cas. Tamen non hanc veram poetae manum fuisse, sed, Λ. γὰρ σκαιῇ τ᾽ ἄλλῃ τ᾽ ἐπιδέδρ. tantum non probatum dabo e scholiastae explic., Καὶ τῇ ἀριστερᾷ φησι χειρὶ καὶ τῇ ἄλλῃ, ἤγουν τῇ δεξιᾷ: unde hoc certe manifestum, habuisse illum in suo exemplo vocem ἄλλῃ.   81. γρ. ἀμαυραί

Ἀμφότεραι δ' Ὄφιος πεπονείαται, ὅς ῥά τε μέσσον
Δινεύει Ὀφιοῦχον· ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς
Ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισιν,
ΣΚΟΡΠΙΟΝ, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
Ὀρθός. ἀτάρ οἱ ΟΦΙΣ γε δύο στρέφεται μετὰ χερσὶν,
Δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
Καὶ δή οἱ Στεφάνῳ παρακέκλιται ἄκρα γένεια·
Νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο ΧΗΛΑΣ.
Ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες οὐδὲν ἀγαυαί.
Ἐξόπιθεν δ' Ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
ΑΡΚΤΟΦΥΛΑΞ, τόν ῥ' ἄνδρες ἐπικλείουσι ΒΟΩΤΗΝ,
Οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται Ἄρκτου.
Καὶ μάλα πᾶς ἀρίδηλος· ὑπὸ ζώνῃ δέ οἱ αὐτὸς
Ἐξ ἄλλων ΑΡΚΤΟΥΡΟΣ ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέψαιο Βοώτεω
ΠΑΡΘΕΝΟΝ, ἥ ῥ' ἐν χερσὶ φέρει Στάχυν αἰγλήεντα.
Εἴτ' οὖν Ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
Ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτε τευ ἄλλου,
Εὔκηλος φορέοιτο· λόγος γε μὲν ἐντρέχει ἄλλος
Ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν,
Ἤρχετο δ' ἀνθρώπων κατεναντίη, οὐδέ ποτ' ἀνδρῶν,
Οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν,
Ἀλλ' ἀναμὶξ ἐκάθητο, καὶ ἀθανάτη περ ἐοῦσα.
Καί ἑ Δίκην καλέεσκον· ἀγειρομένη δὲ γέροντας,
Ἠέ που εἰν ἀγορῇ, ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
Δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
Οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,

---

90. Hipp. ἐπιμεμφέες 96. γρ. ὑποσκέπτεο, αιο, οιο. *Fort.* ὑποσκέπτειο. Vide Grammaticam ampliorem §. 87. Obs. 10. cum nota 99. γρ. ἀρχαίων

Οὐδὲ διακρίσιος πολυμεμφέος, οὐδὲ κυδοιμοῦ.
Αὔτως δ' ἔζωον· χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
Καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον·
Ἀλλὰ βόες καὶ ἄροτρα, καὶ αὐτὴ πότνια λαῶν
Μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων.
Τόφρ' ἦν, ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
Ἀργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ὁμοίη
Ὡμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
Ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
Ἤρχετο δ' ἐξ ὀρέων ἐπιδείελος ἠχηέντων
Μουνάξ. οὐδέ τεῳ ἐπεμίσγετο μειλιχίοισιν·
Ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
Ἠπείλει δὴ ἔπειτα καθαπτομένη κακότητος,
Οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι χατέουσιν·
Οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
Χειροτέρην· ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
Καὶ δή που πόλεμοι, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
Ἔσσεται ἀνθρώποισι, κακοῦ δ' ἐπικείσεται ἄλγος.
Ὡς εἰποῦσ' ὀρέων ἐπεμαίετο, τοὺς δ' ἄρα λαοὺς
Εἰς αὐτὴν ἔτι πάντας ἐλίμπανε παπταίνοντας.
Ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
Χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες,

---

109. γρ. περιμεμφέος

Ante 114. versum unum vel duos excidisse suspicor, quibus infuerit aliquid de *agris limite non discretis*: sic enim summo consensu Cicero (Buhl. p.6. extr.), Germanicus 117. Avienus 300. Mutilum autem istud Τόφρ' ἦν ita explicat scholiastes: τηνικαῦτα ἐπὶ τῇ γῇ καὶ ταῖς πόλεσιν ἦν. 114. γρ. ἑτοίμη 122. χατέουσιν Vossius e Mosc. Vrat. Vulgo καλέουσιν 124. Offendit et neutrum adjectivi et verbi forma. *Fort.* κακίονα τῆς τέξεσθε. 126. γρ. κακὸν: κακῶν: Mosc. Vat. 2. Ἔσσετ' ἐν ἀνθρώποισι, κακῶν δ' οὐκ ἔσσεται ἀλκή: cuius versus priora adoptavit Buhlius: fortassis recte: posteriora sunt ex Hes. ε. 199.

Οἳ πρῶτοι κακόεργον ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων·
Καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν
Ἔπταθ' ὑπουρανίη· ταύτην δ' ἄρα νάσσατο χώρην,
Ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισιν
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτεω.
Τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
[Δεξιτερῇ πτέρυγι· ΠΡΟΤΡΥΓΗΤΗΡ δ' αὖτε καλεῖται·]
Τόσσος μὲν μεγέθει, τοίῃ δ' ἐγκείμενος αἴγλῃ,
Οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται Ἄρκτου.
Δεινὴ γὰρ κείνῃ, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
Ἀστέρες· οὐκ ἂν τούς γε ἰδὼν ἐπιτεκμήραιο,
Οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε,
Εἷς μὲν ὑπωμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,
Ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν· ἀλλ' ἄρα πάντες
Ἁπλόοι ἄλλοθεν ἄλλος ἀνωνυμίῃ φορέονται.
Κρατὶ δέ οἱ ΔΙΔΥΜΟΙ, μέσσῃ δ' ὕπο ΚΑΡΚΙΝΟΣ ἐστίν·
Ποσσὶ δ' ὀπισθοτέροισι ΛΕΩΝ ὕπο καλὰ φαείνει·
Ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι·
Αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι,
Ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι.
Τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
Ἀθρόοι ἐμπίπτουσιν, ὁ δὲ πλόος οὐκέτι κώπαις

---

134. γρ. ἐπουρανίη 136. Marg. Par. B περισκέπτοιο

138. Versum a nullo interpretum expressum omittit Par, F 142. Voss. ἔτι τεκμήραιο. Post hunc versum Vind. Ven. 2. Par. B E inserunt hunc, Οἵ μιν πᾶσαν ὄπισθεν (vel Ἀστέρας οἵ μιν ὄπισθεν) ἑλισσόμενοι τυπόωσιν, quem adulterinum arguit istud ὄπισθεν, quod veritati adversatur. 145. γρ. ἐπὶ

148. γρ. Π. δ' ὑπ' ἀμφοτέροισι. Cf. 327. 151. Schol. γρ. Ἠελίῳ — Λέοντος: sed cf. 292. 293.

Ὥριος. εὑρεῖαί μοι ἀρέσκοιεν τότε νῆες.
Εἰς ἄνεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.
Εἰ δέ τοι ʽΗΝΙΟΧΟΝ τε καὶ ἀςέρας Ἡνιόχοιο
Σκέπτεσθαι δοκέει, καί τοι φάτις ἤλυθεν ΑΙΓΟΣ,
Αὐτῆς ἠδʼ ΕΡΙΦΩΝ, οἵ τʼ εἰν ἁλὶ πορφυρούσῃ
Πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους·
Αὐτὸν μέν μιν ἅπαντα μέγαν Διδύμων ἐπὶ λαιὰ
Κεκλιμένον δήεις· Ἑλίκης δέ οἱ ἄκρα κάρηνα
Ἀντία δινεύει. σκαιῷ δʼ ἐπελήλαται ὤμῳ
Αἲξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν.
Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσʼ ὑποφῆται.
Ἀλλʼ ἡ μὲν πολλή τε καὶ ἀγλαή· οἱ δέ οἱ αὐτοῦ
Λεπτὰ φαείνονται Ἔριφοι καρπὸν κάτα χειρός.
Πὰρ ποσὶ δʼ Ἡνιόχου κεραὸν πεπτηότα ΤΑΥΡΟΝ
Μαίεσθαι. τὰ δέ οἱ μάλʼ ἐοικότα σήματα κεῖται·
Τοίη οἱ κεφαλὴ διακέκριται· οὐδέ τις ἄλλῳ
Σήματι τεκμήραιτο κάρη βοὸς, οἷά μιν αὐτοὶ
Ἀςέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσιν.
Καὶ λίην κείνων ὄνομʼ εἴρεται, οὐδέ τοι αὔτως
Νήκουςοι ΥΑΔΕΣ. ταὶ μέν ῥʼ ἐπὶ παντὶ μετώπῳ
Ταύρου βεβλέαται· λαιοῦ δὲ κεράατος ἄκρον,
Καὶ πόδα δεξιτερὸν παρακειμένου Ἡνιόχοιο,
Εἷς ἀςὴρ ἐπέχει, συνεληλάμενοι δὲ φέρονται.
Ἀλλʼ αἰεὶ Ταῦρος προφερέςερος Ἡνιόχοιο
Εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.
Οὐδʼ ἄρα Κηφῆος μογερὸν γένος Ἰασίδαο

154. Vat. 2. εὐρεῖαι μὲν 157. γρ. δοκέοι 160. λαιὰ Voss. cum sex codd. Vulgo λαιῷ 163. Strab. ὑποσχεῖν: sed cf. Hom. Il. χ, 83. et 494. 175. Sic Vossius ex Hipparcho. Vulgo παρακείμενον 179. Vat. 2. ἱερὸν γένος

Αὔτως ἄῤῥητον κατακείσεται· ἀλλ' ἄρα καὶ τῶν
Οὐρανὸν εἰς ὄνομ' ἦλθεν, ἐπεὶ Διὸς ἐγγύθεν ἦσαν.
Αὐτὸς μὲν κατόπισθεν ἐὼν Κυνοσουρίδος Ἄρκτου
ΚΗΦΕΥΣ ἀμφοτέρας χεῖρας τανύοντι ἐοικώς,
Ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς,
Ἐς πόδας ἀμφοτέρους, ὅσση ποδὸς ἐς πόδα τείνει.
Αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας,
Πρώτης ἱέμενος καμπῆς μεγάλοιο Δράκοντος.
Τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται οὐ μάλα πολλὴ
Νυκτὶ φαεινομένη παμμήνιδι ΚΑΣΣΙΕΠΕΙΑ·
Οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν
Ἀστέρες, οἵ μιν πᾶσαν ἐπιῤῥήδην στιχόωσιν.
Οἵην δὲ κληῗδι θύρην ἔντοσθ' ἀραρυῖαν
Δικλίδ' ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆες,
Τοῖοί οἱ μουνὰξ ὑποκείμενοι ἰνδάλλονται
Ἀστέρες. ἡ δ' αὔτως ὀλίγων ἀποτείνεται ὤμων

---

182. Vat. 2. ἰών   184. γρ. ἄρκτου pro οὐρῆς   187. Hipp. σκολιοῖο

188 - 191. Haec ut nunc leguntur sunt falsissima, eoque ab Hipparcho reprehenduntur. Atqui istud mihi haud persuadetur, lapsum esse Aratum ignoratione signi omnium notissimi, cujus quinque tertiae magnitudinis stellae, eaeque si quae aliae ἐπημοιβοὶ et, ut videmus, ob formam singularem digitis olim quotidie monstratae, parvum illud signum totum opplent. Illo igitur ipso ἐπημοιβοί evincitur, affirmative hunc versum lectitatum fuisse in antiquissimis, quae Hipparchus non viderit, exemplis: et commode a Vind. offertur scriptura Ἠ γάρ. Quo tamen efficitur, in iis, quae hunc versum praecedunt, ut fulgens praedicatum esse hoc signum. Aut igitur scribendum: οὐ μάλα πολλὴ (nam hoc verissimum, et iterum ingeritur v. 195. voce ὀλίγων), νυκτὶ δὲ φαινομένη παμμήνιδι (certe φαινομένη est in codd. aliquot): aut ita: οὐ μάλα πολλῇ Νυκτὶ φαεινομένη παμμήνιδι, ut ultima vox epexegetice addita sit. Illud autem μουνάξ v. 194. si de singulis disjunctisque stellis accipias, non illi ἐπημοιβοί tantum adversetur, sed ipsi clavis figurae. Quare μουνάξ intelligendum de toto hoc stellarum acervulo, qui eo ipso quod solitarie inter cetera sidera situs est, nullique alii se applicat, assimilari potest distinctae alicui formae.   193. γρ. δικλίδα πεπλήγοντες   194. Voss. coll. schol. ἐπικείμενοι

Ὀργυιήν. φαίης κεν ἀνιάζειν ἐπὶ παιδί.
Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται, αἰνὸν ἄγαλμα
ΑΝΔΡΟΜΕΔΗΣ ὑπὸ μητρὶ κεκασμένον. οὔ σε μάλ' οἴω
Νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι.
Τοίη οἱ κεφαλὴ, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
Ὦμοι, καὶ πόδες ἀκρότατοι, καὶ ζώματα πάντα.
Ἀλλ' ἔμπης κἀκεῖθι διωλενίη τετάνυσαι,
Δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ· αἱ δ' ἀνέχονται
Αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκεῖναι.
Ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται ῾ΙΠΠΟΣ
Γαστέρι νειαίρῃ· ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ,
Τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
Οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευρὰς τε καὶ ὤμους
Ἵππου δεικανόωσι διαστάδον ἶσα πέλεθρα,
Καλοὶ καὶ μεγάλοι· κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
Οὐδ' αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
Αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειεν
Τέτρασιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ' ἐόντες.
Οὐδ' ὅγε τετράπος ἐστίν· ἀπ' ὀμφαλίοιο γὰρ ἄκρου
Μεσσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς Ἵππος.
Κεῖνον δή καί φασι καθ' ὑψηλοῦ Ἑλικῶνος
Καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος Ἱππουκρήνης.
Οὐ γάρ πω Ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς.
Ἀλλ' Ἵππος μιν ἔτυψε· τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
Ἐξέχυτο πληγῇ προτέρου ποδός· οἱ δὲ νομῆες
Πρῶτοι κεῖνο ποτὸν διεφήμισαν Ἱππουκρήνην.
Ἀλλὰ τὸ μὲν πέτρης ἀπολείβεται, οὐδέ ποτ' αὐτὸ
Θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι· αὐτὰρ ὁ Ἵππος

---

204. Voss. ἐκείνῃ   221. Mosc. Vrat. Pal. πρῶτον   223. Par. B a manu sec.

Ἐν Διὸς εἰλεῖται, καί τοι πάρα θηήσασθαι.
  Αὐτοῦ καὶ ΚΡΙΟΙΟ θοώταταί εἰσι κέλευθοι,
Ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα
Οὐδὲν ἀφαυρότερον τροχάει Κυνοσουρίδος Ἄρκτου,
Αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος, οἷα σελήνῃ
Σκέψασθαι, ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.
Μεσσόθι δὲ τρίβει μέγαν οὐρανὸν, ἧχί περ ἄκραι
Χηλαὶ, καὶ ζώνη περιτέλλεται Ὠρίωνος.
  Ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα
Νειόθεν Ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
ΔΕΛΤΩΤΟΝ πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
Ἀμφοτέρῃς· ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
Εὑρέσθαι· περὶ γὰρ πολέων εὐάστερός ἐστιν.
Τῶν ὀλίγον Κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
  Οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προμολῇσι νότοιο
ΙΧΘΥΕΣ. ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
Καὶ μᾶλλον Βορέαο νέον κατιόντος ἀκούει.
Ἀμφοτέρων δέ σφεων ἀποτείνεται ἠΰτε δεσμὰ
Οὐραίων ἑκάτερθεν ἐπισχερὼ εἰς ἓν ἰόντων.
Καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
Ὅν ῥά τε καὶ σύνδεσμον ὑπούραιον καλέουσιν.
Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω
Σῆμα Βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.
  Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
ΠΕΡΣΕΟΣ, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.

ὅγ' Ἵππος: sed vid. Herm. post Orph. p. 726. 239. *Legendum* cum Vossio ἐπὶ δὲ προμ.

243. Vossius ἰόντα 245. Cicero, Avienus, Hyginus ὑπουράνιον. Cf. 362.

Οὐδ᾽ ὅτινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν αὔτως
ΕΓΓΟΝΑΣΙΝ καλέουσι. τὸ δ᾽ αὖτ᾽ ἐν γούνασι κάμνον
Ὀκλάζοντι ἔοικεν· ἀπ᾽ ἀμφοτέρων δέ οἱ ὤμων
Χεῖρες ἀείρονται· τάνυταί γε μὲν ἄλλυδις ἄλλη
Ὅσσον ἐς ὀργυιήν· μέσσῳ δ᾽ ἐφύπερθε καρήνῳ
Δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.
Αὐτοῦ κἀκεῖνος ΣΤΕΦΑΝΟΣ, τὸν ἀγαυὸν ἔθηκεν
Σῆμ᾽ ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης,
Νώτῳ ὑποςρέφεται κεκμηότος Εἰδώλοιο.
Νώτῳ μεν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
Σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον, ἐκ δ᾽ ἄρ᾽ ἐκείνης
Αὐτὸν ἐπιφράσσαιο φαεινόμενον ΟΦΙΟΥΧΟΝ·
Τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
Εἴδονται· κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
Εἰσωποὶ τελέθοιεν· ἀτὰρ χέρες οὐ μάλα ἶσαι·
Λεπτὴ γὰρ καὶ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
Ἀλλ᾽ ἔμπης κἀκεῖναι ἐπόψιαι· οὐ γὰρ ἐλαφραί·

---

65. ἵτινι Par. D, Ven. 1. Vulgo ὥτινι vel τινι 66. *Fort.* αὖθ᾽ ἐνὶ γούνατι 70. Δεξιτεροῦ. Contradicere hoc non solum sphaerae, sed ipsis quae infra 272. et aliis locis Aratus prodit, Hipparchus et ante eum Attalus observarunt. Tamen Hipparchus non erroris arguit Eudoxum, quique eum sequatur, Aratum; sed negligentiae: voluisse enim illos hic quoque sinistrum pedem nominare. Quod sane permirum: et absque Eudoxo esset, cuius verba hodie non legimus, Arati versum iam olim adulteratum fuisse suspicarer, dedisseque illum Λὰξ ἑτέρου ποδὸς (cf. Homerica λὰξ ποδί, λὰξ ἐν ςήθεσι βαίνων): is enim, ut sciunt qui sphaeram norunt, ad vivum est huius signi iconismus. Nunc in vulgata scriptura acquiescendum; Germanicus autem, qui habet, *Dextro namque genu nixus — Serpentis capiti figit vestigia scaeva,* Arati lapsum correxisse statuendus est.

71. γρ. ἀγαυὸς 73. γρ. ἐπιςρέφεται 79. Hipparch. μάλ᾽ εἴσαι 80. Vulgo Λ. γὰρ τῇ καὶ τῇ ἐξεπιδέδρ. Sed ἐξ deest in plerisque; et ipsum quod e conj. Vossius, illumque secuti nos, dedimus, repertum est in Par. D et Cas. Tamen non hanc veram poetae manum fuisse, sed, Λ. γὰρ σκαιῇ τ᾽ ἄλλῃ τ᾽ ἐπιδέδρ. tantum non probatum dabo e scholiastae explic., Καὶ τῇ ἀριςερᾷ φησι χειρὶ καὶ τῇ ἄλλῃ, ἤγουν τῇ δεξιᾷ: unde hoc certe manifestum, habuisse illum in suo exemplo vocem ἄλλῃ. 81. γρ. ἀμαυραί

Ἀμφότεραι δ᾽ Ὄφιος πεπονείαται, ὅς ῥά τε μέσσον
Δινεύει Ὀφιοῦχον· ὁ δ᾽ ἐμμενὲς εὖ ἐπαρηρὼς
Ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισιν,
ΣΚΟΡΠΙΟΝ, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
Ὀρθός. ἀτάρ οἱ ΟΦΙΣ γε δύο στρέφεται μετὰ χερσὶν,
Δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
Καὶ δή οἱ Στεφάνῳ παρακέκλιται ἄκρα γένεια·
Νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο ΧΗΛΑΣ.
Ἀλλ᾽ αἱ μὲν φαέων ἐπιδευέες οὐδὲν ἀγαυαί.
Ἐξόπιθεν δ᾽ Ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
ΑΡΚΤΟΦΥΛΑΞ, τόν ῥ᾽ ἄνδρες ἐπικλείουσι ΒΟΩΤΗΝ,
Οὕνεχ᾽ ἁμαξαίης ἐπαφώμενος εἴδεται Ἄρκτου.
Καὶ μάλα πᾶς ἀρίδηλος· ὑπὸ ζώνῃ δέ οἱ αὐτὸς
Ἐξ ἄλλων ΑΡΚΤΟΥΡΟΣ ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέψαιο Βοώτεω
ΠΑΡΘΕΝΟΝ, ἥ ῥ᾽ ἐν χερσὶ φέρει Στάχυν αἰγλήεντα.
Εἴτ᾽ οὖν Ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
Ἄστρων ἀρχαῖον πατέρ᾽ ἔμμεναι, εἴτε τευ ἄλλου,
Εὔκηλος φορέοιτο· λόγος γε μὲν ἐντρέχει ἄλλος
Ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν,
Ἤρχετο δ᾽ ἀνθρώπων κατεναντίη, οὐδέ ποτ᾽ ἀνδρῶν,
Οὐδέ ποτ᾽ ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν,
Ἀλλ᾽ ἀναμὶξ ἐκάθητο, καὶ ἀθανάτη περ ἐοῦσα.
Καί ἑ Δίκην καλέεσκον· ἀγειρομένη δὲ γέροντας,
Ἠέ που εἰν ἀγορῇ, ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
Δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
Οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,

---

90. Hipp. ἐπιμεμφέες 96. γρ. ὑποσκέπτεο, αιο, οιο. *Fort.* ὑποσκέπτειο. Vide Grammaticam ampliorem §. 87. Obs. 10. cum nota 99. γρ. ἀρχαίων

Οὐδὲ διακρίσιος πολυμεμφέος, οὐδὲ κυδοιμοῦ.
Αὔτως δ' ἔζωον· χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
Καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον·
Ἀλλὰ βόες καὶ ἄροτρα, καὶ αὐτὴ πότνια λαῶν
Μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων.
Τόφρ' ἦν, ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
Ἀργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ὁμοίη
Ὡμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
Ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
Ἤρχετο δ' ἐξ ὀρέων ἐπιδείελος ἠχηέντων
Μουνάξ. οὐδέ τεῳ ἐπεμίσγετο μειλιχίοισιν·
Ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
Ἠπείλει δὴ ἔπειτα καθαπτομένη κακότητος,
Οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι χατέουσιν·
Οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
Χειροτέρην· ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
Καὶ δή που πόλεμοι, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
Ἔσσεται ἀνθρώποισι, κακοῦ δ' ἐπικείσεται ἄλγος.
Ὣς εἰποῦσ' ὀρέων ἐπεμαίετο, τοὺς δ' ἄρα λαοὺς
Εἰς αὐτὴν ἔτι πάντας ἐλίμπανε παπταίνοντας.
Ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
Χαλκείη γενεὴ, προτέρων ὀλοώτεροι ἄνδρες,

---

109. γρ. περιμεμφέος

Ante 114. versum unum vel duos excidisse suspicor, quibus infuerit aliquid de *agris limite non discretis*: sic enim summo consensu Cicero (Buhl. p.6. extr.), Germanicus 117. Avienus 300. Mutilum autem istud Τόφρ' ἦν ita explicat scholiastes: τηνικαῦτα ἐπὶ τῇ γῇ καὶ ταῖς πόλεσιν ἦν. 114. γρ. ἑτοίμη 122. χατέουσιν Vossius e Mosc. Vrat. Vulgo καλέουσιν 124. Offendit et neutrum adjectivi et verbi forma. *Fort.* κακίονα τῆς τέξεσθε. 126. γρ. κακὸν: κακῶν: Mosc. Vat. 2. Ἔσσετ' ἐν ἀνθρώποισι, κακῶν δ' οὐκ ἔσσεται ἀλκή: cuius versus priora adoptavit Buhlius: fortassis recte: posteriora sunt ex Hes. ε. 199.

Οἳ πρῶτοι κακόεργον ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων·
Καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν
Ἔπταθ' ὑπουρανίη· ταύτην δ' ἄρα νάσσατο χώρην,
Ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισιν
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτεω.
Τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
[Δεξιτερῇ πτέρυγι· ΠΡΟΤΡΥΓΗΤΗΡ δ' αὖτε καλεῖται·]
Τόσσος μὲν μεγέθει, τοίῃ δ' ἐγκείμενος αἴγλῃ,
Οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται Ἄρκτου.
Δεινὴ γὰρ κείνη, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
Ἀστέρες· οὐκ ἂν τούς γε ἰδὼν ἐπιτεκμήραιο,
Οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε,
Εἷς μὲν ὑπωμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,
Ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν· ἀλλ' ἄρα πάντες
Ἁπλόοι ἄλλοθεν ἄλλος ἀνωνυμίῃ φορέονται.
Κρατὶ δέ οἱ ΔΙΔΥΜΟΙ, μέσσῃ δ' ὕπο ΚΑΡΚΙΝΟΣ ἐστίν·
Ποσσὶ δ' ὀπισθοτέροισι ΛΕΩΝ ὕπο καλὰ φαείνει·
Ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι·
Αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι,
Ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι.
Τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
Ἀθρόοι ἐμπίπτουσιν, ὁ δὲ πλόος οὐκέτι κώπαις

---

134. γρ. ἐπουρανίη 136. Marg. Par. B περισκέπτοιο
138. Versum a nullo interpretum expressum omittit Par. F 142. Voss. ἔτι τεκμήραιο. Post hunc versum Vind. Ven. 2. Par. B E inserunt hunc, Οἵ μιν πᾶσαν ὄπισθεν (vel Ἀστέρας οἵ μιν ὄπισθεν) ἑλισσόμενοι τυπόωσιν, quem adulterinum arguit istud ὄπισθεν, quod veritati adversatur. 145. γρ. ἐπὶ
148. γρ. Π. δ' ὑπ' ἀμφοτέροισι. Cf. 327. 151. Schol. γρ. Ἠελίῳ — Λέοντος; sed cf. 292. 293.

Ὥριος. εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες·
Εἰς ἄνεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.
Εἰ δέ τοι ἩΝΙΟΧΟΝ τε καὶ ἀστέρας Ἡνιόχοιο
Σκέπτεσθαι δοκέει, καί τοι φάτις ἤλυθεν ΑΙΓΟΣ,
Αὐτῆς ἠδ᾽ ΕΡΙΦΩΝ, οἵ τ᾽ εἰν ἁλὶ πορφυρούσῃ
Πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους·
Αὐτὸν μέν μιν ἅπαντα μέγαν Διδύμων ἐπὶ λαιὰ
Κεκλιμένον δήεις· Ἑλίκης δέ οἱ ἄκρα κάρηνα
Ἀντία δινεύει. σκαιῷ δ᾽ ἐπελήλαται ὤμῳ
Αἲξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν.
Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσ᾽ ὑποφῆται.
Ἀλλ᾽ ἡ μὲν πολλή τε καὶ ἀγλαή· οἱ δέ οἱ αὐτοῦ
Λεπτὰ φαείνονται Ἔριφοι καρπὸν κάτα χειρός.
Πὰρ ποσὶ δ᾽ Ἡνιόχου κεραὸν πεπτηότα ΤΑΥΡΟΝ
Μαίεσθαι. τὰ δέ οἱ μάλ᾽ ἐοικότα σήματα κεῖται·
Τοίη οἱ κεφαλὴ διακέκριται· οὐδέ τις ἄλλῳ
Σήματι τεκμήραιτο κάρη βοός, οἷά μιν αὐτοὶ
Ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσιν.
Καὶ λίην κείνων ὄνομ᾽ εἴρεται, οὐδέ τοι αὔτως
Νήκουστοι ΥΑΔΕΣ. ταὶ μέν ῥ᾽ ἐπὶ παντὶ μετώπῳ
Ταύρου βεβλέαται· λαιοῦ δὲ κεράατος ἄκρον,
Καὶ πόδα δεξιτερὸν παρακειμένου Ἡνιόχοιο,
Εἷς ἀστὴρ ἐπέχει, συνεληλάμενοι δὲ φέρονται.
Ἀλλ᾽ αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο
Εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.
Οὐδ᾽ ἄρα Κηφῆος μογερὸν γένος Ἰασίδαο

---

154. Vat. 2. εὐρεῖαι μὲν 157. γρ. δοκέοι 160. λαιὰ Voss. cum sex codd. Vulgo λαιᾷ 163. Strab. ὑποσχεῖν: sed cf. Hom. Il. χ, 83. et 494. 175. Sic Vossius ex Hipparcho. Vulgo παρακείμενον 179. Vat. 2. ἱερὸν γένος

Αὔτως ἄῤῥητον κατακείσεται· ἀλλ᾽ ἄρα καὶ τῶν
Οὐρανὸν εἰς ὄνομ᾽ ἦλθεν, ἐπεὶ Διὸς ἐγγύθεν ἦσαν.
Αὐτὸς μὲν κατόπισθεν ἐὼν Κυνοσουρίδος Ἄρκτου
ΚΗΦΕΥΣ ἀμφοτέρας χεῖρας τανύοντι ἐοικὼς,
Ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς,
Ἐς πόδας ἀμφοτέρους, ὅσση ποδὸς ἐς πόδα τείνει.
Αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας,
Πρώτης ἱέμενος καμπῆς μεγάλοιο Δράκοντος.
Τοῦ δ᾽ ἄρα δαιμονίη προκυλίνδεται οὐ μάλα πολλὴ
Νυκτὶ φαεινομένη παμμήνιδι ΚΑΣΣΙΕΠΕΙΑ·
Οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν
Ἀστέρες, οἵ μιν πᾶσαν ἐπιῤῥήδην στιχόωσιν.
Οἵην δὲ κληῗδι θύρην ἔντοσθ᾽ ἀραρυῖαν
Δικλίδ᾽ ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆες,
Τοῖοί οἱ μουνὰξ ὑποκείμενοι ἰνδάλλονται
Ἀστέρες. ἡ δ᾽ αὔτως ὀλίγων ἀποτείνεται ὤμων

---

182. Vat. 2. ἰὼν 184. γρ. ἄρκτου pro οὐρῆς 187. Hipp. σκολιοῖο

138 - 191. Haec ut nunc leguntur sunt falsissima, eoque ab Hipparcho reprehenduntur. Atqui istud mihi haud persuadetur, lapsum esse Aratum ignoratione signi omnium notissimi, cujus quinque tertiae magnitudinis stellae, eaeque si quae aliae ἐπημοιβοὶ et, ut videmus, ob formam singularem digitis olim quotidie monstratae, parvum illud signum totum opplent. Illo igitur ipso ἐπημοιβοί evincitur, affirmative hunc versum lectitatum fuisse in antiquissimis, quae Hipparchus non viderit, exemplis: et commode a Vind. offertur scriptura Ἠ γάρ. Quo tamen efficitur, in iis, quae hunc versum praecedunt, ut fulgens praedicatum esse hoc signum. Aut igitur scribendum: οὐ μάλα πολλὴ (nam hoc verissimum, et iterum ingeritur v.195. voce ὀλίγων), νυκτὶ δὲ φαινομένη παμμήνιδι (certe φαινομένη est in codd. aliquot): aut ita: οὐ μάλα πολλῇ Νυκτὶ φαεινομένη παμμήνιδι, ut ultima vox epexegetice addita sit. Illud autem μουνάξ v. 194. si de singulis disjunctisque stellis accipias, non illi ἐπημοιβοί tantum adversetur, sed ipsi clavis figurae. Quare μουνάξ intelligendum de toto hoc stellarum acervulo, qui eo ipso quod solitarie inter cetera sidera situs est, nullique alii se applicat, assimilari potest distinctae alicui formae. 193. γρ. δικλίδα πεπλήγοντες 194. Voss. coll. schol. ἐπικείμενοι

Ὀργυιήν. φαίης κεν ἀνιάζειν ἐπὶ παιδί.
Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
ΑΝΔΡΟΜΕΔΗΣ ὑπὸ μητρὶ κεκασμένον. οὐ σε μάλ' οἴω
Νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι.
Τοίη οἱ κεφαλή, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
Ὦμοι, καὶ πόδες ἀκρότατοι, καὶ ζώματα πάντα.
Ἀλλ' ἔμπης κἀκεῖθι διωλενίη τετάνυσται,
Δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ· αἱ δ' ἀνέχονται
Αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκεῖναι.
Ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται ἹΠΠΟΣ
Γαστέρι νειαίρῃ· ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ,
Τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
Οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευρὰς τε καὶ ὤμους
Ἵππου δεικανόωσι διασταδὸν ἶσα πέλεθρα,
Καλοὶ καὶ μεγάλοι· κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
Οὐδ' αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
Αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειεν
Τέτρασιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ' ἐόντες.
Οὐδ' ὅγε τετράπος ἐστίν· ἀπ' ὀμφαλίοιο γὰρ ἄκρου
Μεσσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς Ἵππος.
Κεῖνον δὴ καί φασι καθ' ὑψηλοῦ Ἑλικῶνος
Καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος Ἱππουκρήνης.
Οὐ γάρ πω Ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς.
Ἀλλ' Ἵππος μιν ἔτυψε· τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
Ἐξέχυτο πληγῇ προτέρου ποδός· οἱ δὲ νομῆες
Πρῶτοι κεῖνο ποτὸν διεφήμισαν Ἱππουκρήνην.
Ἀλλὰ τὸ μὲν πέτρης ἀπολείβεται, οὐδέ ποτ' αὐτὸ
Θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι· αὐτὰρ ὁ Ἵππος

---

204. Voss. ἐκείνῃ 221. Mosc. Vrat. Pal. πρῶτον 223. Par. B a manu sec.

Ἐν Διὸς εἰλεῖται, καί τοι πάρα θηήσασθαι.
  Αὐτοῦ καὶ ΚΡΙΟΙΟ θοώταταί εἰσι κέλευθοι,
Ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα
Οὐδὲν ἀφαυρότερον τροχάει Κυνοσουρίδος Ἄρκτου,
Αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος, οἷα σελήνῃ
Σκέψασθαι, ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.
Μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἧχί περ ἄκραι
Χηλαί, καὶ ζώνη περιτέλλεται Ὠρίωνος.
  Ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα
Νειόθεν Ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
ΔΕΛΤΩΤΟΝ πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
Ἀμφοτέρῃς· ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
Εὑρέσθαι· περὶ γὰρ πολέων εὐάστερός ἐστιν.
Τῶν ὀλίγον Κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
  Οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προμολῇσι νότοιο
ΙΧΘΥΕΣ. ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
Καὶ μᾶλλον Βορέαο νέον κατιόντος ἀκούει.
Ἀμφοτέρων δέ σφεων ἀποτείνεται ἠύτε δεσμὰ
Οὐραίων ἑκάτερθεν ἐπισχερὼ εἰς ἓν ἰόντων.
Καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
Ὅν ῥά τε καὶ σύνδεσμον ὑπουραῖον καλέουσιν.
Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω
Σῆμα Βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.
  Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
ΠΕΡΣΕΟΣ, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.

ἐγ' Ἵππος: sed vid. Herm. post Orph. p. 726. 239. *Legendum* cum Vossio ἐπὶ δὲ προμ.

243. Vossius ἰόντα 245. Cicero, Avienus, Hyginus ὑπουράνιον. Cf. 362.

Αὐτὰρ ὅγ' ἐν βορέω φέρεται περιμήκετος ἄλλων.
Καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
Πενθερίου δίφροιο· τὰ δ' ἐν ποσὶν οἷα διώκων
Ἴχνια μηκύνει κεκονιμένος ἐν Διὶ πατρί.
Ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
ΠΛΗΙΑΔΕΣ φορέονται. ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας
Χῶρος ἔχει, καὶ δ' αὐταὶ ἐπισκέψασθαι ἀφαυραί.
Ἑπτάποροι δὴ ταίγε μετ' ἀνθρώπους ὑδέονται,
Ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
Οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστὴρ,
Ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν, ἀλλὰ μάλ' αὔτως
Εἴρεται. ἑπτὰ δ' ἐκεῖναι ἐπιῤῥήδην καλέονται
Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ', Ἠλέκτρη τε,
Καὶ Στερόπη, καὶ Τηϋγέτη, καὶ πότνια Μαῖα.
Αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ' ὀνομασταὶ
Ἦρι καὶ ἑσπέριαι, Ζεὺς δ' αἴτιος, εἱλίσσονται,
Ὅ σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
Σημαίνειν ἐκέλευσεν, ἐπερχομένου τ' ἀρότοιο.
Καὶ ΧΕΛΥΣ, ἥτ' ὀλίγη· τὴν δ' ἆρ' ἔτι καὶ παρὰ λίκνῳ
Ἑρμείης ἐτόρησε, ΛΥΡΗΝ δέ μιν εἶπε λέγεσθαι.
Καδδ' ἔθετο προπάροιθεν ἀπευθέος Εἰδώλοιο
Οὐρανὸν εἰσαγαγών. τὸ δ' ἐπὶ σκελέεσσι πέτηλον
Γούνατί οἱ σκαιῷ πελάει· κεφαλή γε μὲν ἄκρη
Ἀντιπέρην Ὄρνιθος ἑλίσσεται· ἡ δὲ μεσηγὺ
Ὀρνιθέης κεφαλῆς καὶ γούνατος ἐστήρικται.
Ἦτοι γὰρ καὶ Ζηνὶ παρατρέχει αἰόλος ΟΡΝΙΣ.

---

250. ἐν βορέω (sc. οἴκῳ) Ven. 1. Vulgo ἐν βορέῳ 257. Mosc. Vat. 2. ἐν ἀνθρώποις 263. *Fort.* Κἀστερόπη: v. Germ. 267. Athenaeus: ἐπένευσεν 268. Voss. Καὶ Χέλυς ἤδ' ὀλίγη. Malim, Καὶ δὲ Χέλυς ὀλίγη. Cf. 300.: et de quantitate vocis χέλυς Hymn. Merc. 24. 33. 153. 269. Perpauci Ἑρμείας

Ἀλλ᾽ ὁ μὲν ἠερόεις, τὰ δέ οἱ πτερὰ τετρήχυνται,
Ἀστράσιν οὔτι λίην μεγάλοις, ἀτὰρ οὐ μὲν ἀφαυροῖς.
Αὐτὰρ ὅγ᾽ εὐδιόωντι ποτὴν ὄρνιθι ἐοικὼς
Οὔριος εἰς ἑτέρην φέρεται, κατὰ δεξιὰ χειρὸς
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων.
Λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται Ἵππου.
Τὸν δὲ μετασκαίροντα δύ᾽ Ἰχθύες ἀμφινέμονται
Ἵππον· πὰρ δ᾽ ἄρα οἱ κεφαλῇ χεὶρ ὙΔΡΟΧΟΟΙΟ
Δεξιτερὴ τετάνυσθ᾽· ὁ δ᾽ ὀπίστερος Αἰγοκερῆος
Τέλλεται. αὐτὰρ ὅγε πρότερος καὶ νειόθι μᾶλλον
Κέκλιται ΑΙΓΟΚΕΡΩΣ, ἵνα τε τρέπετ᾽ ἠελίου ἴς.
Μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσης
Πεπταμένῳ πελάγει κεχρημένος. οὔτε κεν ἠοῖ
Πολλὴν πειρήνειας, ἐπεὶ ταχινώταταί εἰσιν·
Οὔτ᾽ ἄν τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
Ἔλθοι καὶ μάλα πολλὰ βοωμένῳ. οἱ δ᾽ ἀλεγεινοὶ
Τῆμος ἐπιῤῥήσσουσι νότοι, ὁπότ᾽ Αἰγοκερῆϊ
Συμφέρετ᾽ ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστιν
Ναύτῃ μαλκιόωντι κακώτατον. ἀλλὰ καὶ ἔμπης
Ἤδη πάντ᾽ ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
Πορφύρει· ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσιν
Πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες

---

276. Sic Buhl. e Mosc. Vulgo τὰ δέ οἱ ἐπιτετρήχυνται 280. γρ. Κηφῆος
282. *Leg.* c. Arnaldo μέγα σκαίροντα 284. Par. C et Vind. Δεξι τάνυται
286. γρ. ἵνα sine τε γρ. ἠελίοιο, et ἠελίοιο ἴς.

287. θαλάσσης. Sic edd. ant. cum Vind. Par. C D: ceteri, θαλάσσῃ. Cf. Homerica λούεσθαι ποταμοῖο, κονίοντες πεδίοιο: et apud nostrum κρύπτεσθαι ὄρεος 564. θέειν γαίης 605. βεβολημένος Ἀρκτούροιο 609., alia. 291. γρ. ἢ μάλα. Tum βοωμένη legisse suspicantur Germanicum, qui habet, *Multum clamatos frustra expectaveris ortus.* 293. τότε δὲ plurimi. Vulgo δὴ (cum Par. C): Vat. 2. τότε τοι 294. κακώτατον Stob. Vulgo κακώτερον.

Ἥμεθ', ἐπ' αἰγιαλοὺς τετραμμένοι· οἱ δ' ἔτι πόρσω
Κλύζονται· ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.
Καὶ δ' ἂν ἐπὶ προτέρῳ γε, θαλάσσῃ πολλὰ πεπονθὼς,
Τόξον ὅτ' ἠέλιος καίει καὶ ῥύτορα τόξου,
Ἑσπέριος κατάγοιο, πεποιθὼς οὐκέτι νυκτί.
Σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός.
Ἦτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
ΤΟΞΕΥΤΗΣ· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων, ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον.
Τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτὸς
Ὕψι μάλα τροχάει, ὁ δὲ δύεται ἠῶθι πρὸ
Ἀθρόος Ὠρίων, Κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν.
Ἔστι δέ τις προτέρω βεβλημένος ἄλλος ΟΪΣΤΟΣ
Αὐτὸς ἄτερ τόξου· ὁ δέ οἱ παραπέπταται Ὄρνις
Ἀσσότερον βορέω. Σχεδόθεν δέ οἱ ἄλλος ἄηται
Οὐ τόσσος μεγέθει, χαλεπός γε μὲν ἐξ ἁλὸς ἐλθεῖν
Νυκτὸς ἀπερχομένης· καί μιν καλέουσιν ΑΗΤΟΝ.
ΔΕΛΦΙΣ δ', οὐ μάλα πολλὸς, ἐπιτρέχει Αἰγοκερῆϊ
Μεσσόθεν ἠερόεις· τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
Γλήνεα, παρβολάδην δύο πὰρ δύο πεπτηῶτα.
Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται· τὰ δὲ νειόθι τέλλεται ἄλλα
Πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου.
Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς

---

298. Vat. 2. ἐς αἰγ. 301. Codicum mendosa plerorumque scriptura fluctuat inter καὶ ῥύτορας et ῥυτῆρά τε. 304. Voss. et Par. C ἔτι, quod displicet adhaerens voci πυμάτης.

311. γρ. δέ τοι 312. Vat. 2. γυμνὸς pro αὐτὸς 314. Grot. em. ἐλθὼν coll. schol. Sed ante oculos habuit Aratus Homericum, χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς Il. υ, 131. 315. γρ. ἐπερχ. 317. γρ. παρὰ : sed confer 337.

ΡΙΩΝ. μὴ κεῖνον ὅτις καθαρῇ ἐνὶ νυκτὶ
Ὑψοῦ πεπτηῶτα παρέρχεται, ἄλλα πεποίθοι
Οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι.
Τοῖός οἱ καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ
Φαίνεται ἀμφοτέροισι ΚΥΩΝ ἐπὶ ποσσὶ βεβηκὼς,
Ποικίλος, οὐ μὲν πάντα πεφασμένος· ἀλλὰ κατ' αὐτὴν
Γαστέρα κυάνεος περιτέλλεται, ἣ δέ οἱ ἄκρη
Ἀστέρι βέβληται δεινὴ γένυς, ὅς ῥα μάλιστα
Ὀξέα σειριάει· καί μιν καλέουσ' ἄνθρωποι
ΣΕΙΡΙΟΝ. οὐκέτι κεῖνον ἅμ' ἠελίῳ ἀνιόντα
Φυταλιαὶ ψεύδονται ἀναλδέα φυλλιόωσαι.
Ῥεῖα γὰρ οὖν ἔκρινε διὰ στίχας ὀξὺς ἀΐξας,
Καὶ τὰ μὲν ἔρρωσεν, τῶν δὲ φλόον ὤλεσε πάντα.
Κείνου καὶ κατιόντος ἀκούομεν· οἱ δὲ δὴ ἄλλοι,
Σῆμ' ἔμεναι μελέεσσιν, ἐλαφρότεροι περίκεινται.
Ποσσὶν δ' Ὠρίωνος ὑπ' ἀμφοτέροισι ΛΑΓΩΟΣ
Ἐμμενὲς ἤματα πάντα διώκεται. αὐτὰρ ὅγ' αἰεὶ
Σείριος ἐξόπιθεν φέρεται μετιόντι ἐοικὼς,
Καί οἱ ἐπαντέλλει, καί μιν κατιόντα δοκεύει.
Ἡ δὲ Κυνὸς μεγάλοιο κατ' οὐρὴν ἕλκεται ΑΡΓΩ
Πρυμνόθεν· οὐ γὰρ τῇγε κατὰ χρέος εἰσὶ κέλευθοι,

---

323. *ἐνὶ νυκτὶ* plurimi. Vulgo *ἐπὶ ν.*

327. Vulgo *ὑπὸ ποσσὶν*, quod manifesto falsum. Quid revera sit sub pedibus Orionis traditur v. 338. Itaque, si quae alia, certa est emendatio Arnaldi, *ἐπὶ ποσσί.* Schol. *ποσσὶν ἀμφοτέροισιν, ἤτοι τοῖς ὀπισθίοις. ἐπ' αὐτῶν γὰρ βεβηκώς ἐστιν.* Iam cum in codd. nonnullis scriptum sit *Φαίνετ' ἀμφοτέροισι*, suspicari possis, antiquam scripturam, *Φαίνετ' ὀπισθοτέροισι*, eodem fere quo supra 148. peccato oblitteratam fuisse. Sed cf. 1109. et 1136., ubi itidem *ἀμφοτέροις* est pro *δυοῖν*, et altero quidem loco de posterioribus, altero de anterioribus pedibus. Cf. etiam supra 236. de Trigoni *ἀμφοτέραις πλευραῖς.* 328. *οὐ μὲν* Vat. 2. Vulgo *ἀλλ' οὐ*

330. *δεινὴ* scripti omnes; *δεινῇ* editi quidam. 336. Vulgo *δέ οἱ*: sed *δὲ δὴ* habent codd. plurimi et optimi. Cf. Od. α, 26. 341. γρ. *διώκει*

Ὥριος. εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες·
Εἰς ἄνεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.
Εἰ δέ τοι ῾ΗΝΙΟΧΟΝ τε καὶ ἀστέρας Ἡνιόχοιο
Σκέπτεσθαι δοκέει, καί τοι φάτις ἤλυθεν ΑΙΓΟΣ,
Αὐτῆς ἠδ᾽ ΕΡΙΦΩΝ, οἵ τ᾽ εἰν ἁλὶ πορφυρούσῃ
Πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους·
Αὐτὸν μέν μιν ἅπαντα μέγαν Διδύμων ἐπὶ λαιὰ
Κεκλιμένον δήεις· Ἑλίκης δέ οἱ ἄκρα κάρηνα
Ἀντία δινεύει. σκαιῷ δ᾽ ἐπελήλαται ὤμῳ
Αἶξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν.
Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσ᾽ ὑποφῆται.
Ἀλλ᾽ ἡ μὲν πολλή τε καὶ ἀγλαή· οἱ δέ οἱ αὐτοῦ
Λεπτὰ φαείνονται Ἔριφοι καρπὸν κάτα χειρός.
Πὰρ ποσὶ δ᾽ Ἡνιόχου κεραὸν πεπτηότα ΤΑΥΡΟΝ
Μαίεσθαι. τὰ δέ οἱ μάλ᾽ ἐοικότα σήματα κεῖται·
Τοίη οἱ κεφαλὴ διακέκριται· οὐδέ τις ἄλλῳ
Σήματι τεκμήραιτο κάρη βοός, οἷά μιν αὐτοὶ
Ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσιν.
Καὶ λίην κείνων ὄνομ᾽ εἴρεται, οὐδέ τοι αὔτως
Νήκουστοι ΥΑΔΕΣ. ταὶ μέν ῥ᾽ ἐπὶ παντὶ μετώπῳ
Ταύρου βεβλέαται· λαιοῦ δὲ κεράατος ἄκρον,
Καὶ πόδα δεξιτερὸν παρακειμένου Ἡνιόχοιο,
Εἷς ἀστὴρ ἐπέχει, συνεληλάμενοι δὲ φέρονται.
Ἀλλ᾽ αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο
Εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.
Οὐδ᾽ ἄρα Κηφῆος μογερὸν γένος Ἰασίδαο

154. Vat. 2. εὐρεῖαι μὲν 157. γρ. δοκέοι 160. λαιὰ Voss. cum sex codd. Vulgo λαιῷ 163. Strab. ὑποσχεῖν: sed cf. Hom. Il. χ, 83. et 494. 175. Sic Vossius ex Hipparcho. Vulgo παρακείμενον 179. Vat. 2. ἱεροῦ γένος

Αὔτως ἄῤῥητον κατακείσεται· ἀλλ' ἄρα καὶ τῶν
Οὐρανὸν εἰς ὄνομ' ἦλθεν, ἐπεὶ Διὸς ἐγγύθεν ἦσαν.
Αὐτὸς μὲν κατόπισθεν ἐὼν Κυνοσουρίδος Ἄρκτου
ΚΗΦΕΥΣ ἀμφοτέρας χεῖρας τανύοντι ἐοικὼς,
Ἴση οἱ ϛάθμη νεάτης ἀποτείνεται οὐρῆς,
Ἐς πόδας ἀμφοτέρους, ὅσση ποδὸς ἐς πόδα τείνει.
Αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας,
Πρώτης ἱέμενος καμπῆς μεγάλοιο Δράκοντος.
Τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται οὐ μάλα πολλὴ
Νυκτὶ φαεινομένη παμμήνιδι ΚΑΣΣΙΕΠΕΙΑ·
Οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν
Ἀϛέρες, οἵ μιν πᾶσαν ἐπιῤῥήδην ϛιχόωσιν.
Οἵην δὲ κληῗδι θύρην ἔντοσθ' ἀραρυῖαν
Δικλίδ' ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆες,
Τοῖοί οἱ μουνὰξ ὑποκείμενοι ἰνδάλλονται
Ἀϛέρες. ἡ δ' αὔτως ὀλίγων ἀποτείνεται ὤμων

182. Vat. 2. ἰὼν 184. γρ. ἄρκτου pro οὐρῆς 187. Hipp. σκολιοῖο

188 - 191. Haec ut nunc leguntur sunt falsissima, eoque ab Hipparcho reprehenduntur. Atqui istud mihi haud persuadetur, lapsum esse Aratum ignoratione signi omnium notissimi, cujus quinque tertiae magnitudinis stellae, eaeque si quae aliae ἐπημοιβοὶ et, ut videmus, ob formam singularem digitis olim quotidie monstratae, parvum illud signum totum opplent. Illo igitur ipso ἐπημοιβοί evincitur, affirmative hunc versum lectitatum fuisse in antiquissimis, quae Hipparchus non viderit, exemplis: et commode a Vind. offertur scriptura Ἡ γάρ. Quo tamen efficitur, in iis, quae hunc versum praecedunt, ut fulgens praedicatum esse hoc signum. Aut igitur scribendum: οὐ μάλα πολλή (nam hoc verissimum, et iterum ingeritur v. 195. voce ὀλίγων), νυκτὶ δὲ φαινομένη παμμήνιδι (certe φαινομένη est in codd. aliquot): aut ita: οὐ μάλα πολλῇ Νυκτὶ φαεινομένη παμμήνιδι, ut ultima vox epexegetice addita sit. Illud autem μουνάξ v. 194. si de singulis disjunctisque stellis accipias, non illi ἐπημοιβοί tantum adversetur, sed ipsi clavis figurae. Quare μουνάξ intelligendum de toto hoc stellarum acervulo, qui eo ipso quod solitarie inter cetera sidera situs est, nullique alii se applicat, assimilari potest distinctae alicui formae. 193. γρ. δικλίδα πεπλήγοντες 194. Voss. coll. schol. ἐπικείμενοι

Ὀργυιήν. φαίης κεν ἀνιάζειν ἐπὶ παιδί.
Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται, αἰνὸν ἄγαλμα
ΑΝΔΡΟΜΕΔΗΣ ὑπὸ μητρὶ κεκασμένον. οὔ σε μάλ' οἴω
Νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι.
Τοίη οἱ κεφαλή, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
Ὦμοι, καὶ πόδες ἀκρότατοι, καὶ ζώματα πάντα.
Ἀλλ' ἔμπης κἀκεῖθι διωλενίη τετάνυσαι,
Δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ· αἱ δ' ἀνέχονται
Αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκεῖναι.
Ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται ἹΠΠΟΣ
Γαστέρι νειαίρῃ· ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ,
Τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
Οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευρὰς τε καὶ ὤμους
Ἵππου δεικανόωσι διασταδὸν ἶσα πέλεθρα,
Καλοὶ καὶ μεγάλοι· κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
Οὐδ' αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
Αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειεν
Τέτρασιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ' ἐόντες.
Οὐδ' ὅγε τετράπος ἐστίν· ἀπ' ὀμφαλίοιο γὰρ ἄκρου
Μεσσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς Ἵππος.
Κεῖνον δὴ καί φασι καθ' ὑψηλοῦ Ἑλικῶνος
Καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος Ἱππουκρήνης.
Οὐ γάρ πω Ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς.
Ἀλλ' Ἵππος μιν ἔτυψε· τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
Ἐξέχυτο πληγῇ προτέρου ποδός· οἱ δὲ νομῆες
Πρῶτοι κεῖνο ποτὸν διεφήμισαν Ἱππουκρήνην.
Ἀλλὰ τὸ μὲν πέτρης ἀπολείβεται, οὐδέ ποτ' αὐτὸ
Θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι· αὐτὰρ ὁ Ἵππος

---

204. Voss. ἐκείνη 221. Mosc. Vrat. Pal. πρῶτον 223. Par. B a manu sec.

Ἐν Διὸς εἰλεῖται, καί τοι πάρα θηήσασθαι.
Αὐτοῦ καὶ ΚΡΙΟΙΟ θοώταταί εἰσι κέλευθοι,
Ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα
Οὐδὲν ἀφαυρότερον τροχάει Κυνοσουρίδος Ἄρκτου,
Αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος, οἷα σελήνῃ
Σκέψασθαι, ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.
Μεσσόθι δὲ τρίβει μέγαν οὐρανὸν, ἧχί περ ἄκραι
Χηλαὶ, καὶ ζώνη περιτέλλεται Ὠρίωνος.
Ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα
Νειόθεν Ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
ΔΕΛΤΩΤΟΝ πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
Ἀμφοτέρῃς· ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
Εὑρέσθαι· περὶ γὰρ πολέων εὐαστερός ἐστιν.
Τῶν ὀλίγον Κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
Οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προμολῇσι νότοιο
ΙΧΘΥΕΣ. ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
Καὶ μᾶλλον Βορέαο νέον κατιόντος ἀκούει.
Ἀμφοτέρων δὲ σφεων ἀποτείνεται ἠΰτε δεσμὰ
Οὐραίων ἑκάτερθεν ἐπισχερὼ εἰς ἓν ἰόντων.
Καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
Ὅν ῥά τε καὶ σύνδεσμον ὑπούραιον καλέουσιν.
Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω
Σῆμα Βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.
Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
ΠΕΡΣΕΟΣ, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.

ὅγ' Ἵππος: sed vid. Herm. post Orph. p. 726. 239. *Legendum* cum Vossio ἐπὶ δὲ προμ.

243. Vossius ἰόντα. 245. Cicero, Avienus, Hyginus ὑπουράνιον. Cf. 362.

Αὐτὰρ ὅγ' ἐν βορέῳ φέρεται περιμήκετος ἄλλων.
Καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσαι
Πενθερίου δίφροιο· τὰ δ' ἐν ποσὶν οἷα διώκων
Ἴχνια μηκύνει κεκονιμένος ἐν Διὶ πατρί.
Ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
ΠΛΗΙΑΔΕΣ φορέονται. ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας
Χῶρος ἔχει, καὶ δ' αὐταὶ ἐπισκέψασθαι ἀφαυραί.
Ἑπτάποροι δὴ ταίγε μετ' ἀνθρώπους ὑδέονται,
Ἓξ οἷαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
Οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστὴρ,
Ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν, ἄλλα μάλ' αὔτως
Εἴρεται. ἑπτὰ δ' ἐκεῖναι ἐπιῤῥήδην καλέονται
Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ', Ἠλέκτρη τε,
Καὶ Στερόπη, καὶ Τηϋγέτη, καὶ πότνια Μαῖα.
Αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ' ὀνομασταὶ
Ἦρι καὶ ἑσπέριαι, Ζεὺς δ' αἴτιος, εἱλίσσονται,
Ὅ σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
Σημαίνειν ἐκέλευσεν, ἐπερχομένου τ' ἀρότοιο.
Καὶ ΧΕΛΥΣ, ἥτ' ὀλίγη· τὴν δ' ἄρ' ἔτι καὶ παρὰ λίκνῳ
Ἑρμείης ἐτόρησε, ΛΥΡΗΝ δέ μιν εἶπε λέγεσθαι.
Καδδ' ἔθετο προπάροιθεν ἀπευθέος Εἰδώλοιο
Οὐρανὸν εἰσαγαγών. τὸ δ' ἐπὶ σκελέεσσι πέτηλον
Γούνατί οἱ σκαιῷ πελάει· κεφαλή γε μὲν ἄκρη
Ἀντιπέρην Ὄρνιθος ἑλίσσεται· ἡ δὲ μεσηγὺ
Ὀρνιθέης κεφαλῆς καὶ γούνατος ἐστήρικται.
Ἤτοι γὰρ καὶ Ζηνὶ παρατρέχει αἰόλος ΟΡΝΙΣ.

---

250. ἐν βορέῳ (sc. οἴκῳ) Ven. 1. Vulgo ἐν βορέῳ 257. Mosc. Vat. 2. ἐν ἀνθρώποις 263. *Fort.* Κάστερόπη: v. Germ. 267. Athenaeus: ἐπένευσεν 268. Voss. Καὶ Χέλυς ἥδ' ὀλίγη. Malim, Καὶ δὲ Χέλυς ὀλίγη. Cf. 300.: et de quantitate vocis χέλυς Hymn. Merc. 24. 33. 153. 269. Perpauci Ἑρμείας

Ἀλλ᾽ ὁ μὲν ἠερόεις, τὰ δέ οἱ πτερὰ τετρήχυνται
Ἀστράσιν οὔτι λίην μεγάλοις, ἀτὰρ οὐ μὲν ἀφαυροῖς.
Αὐτὰρ ὅγ᾽ εὐδιόωντι ποτὴν ὄρνιθι ἐοικὼς
Οὔριος εἰς ἑτέρην φέρεται, κατὰ δεξιὰ χειρὸς
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων.
Λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται Ἵππου.
Τὸν δὲ μετασκαίροντα δύ᾽ Ἰχθύες ἀμφινέμονται
Ἵππον· πὰρ δ᾽ ἄρα οἱ κεφαλῇ χεὶρ ὙΔΡΟΧΟΟΙΟ
Δεξιτερὴ τετάνυσθ᾽· ὁ δ᾽ ὀπίστερος Αἰγοκερῆος
Τέλλεται. αὐτὰρ ὅγε πρότερος καὶ νειόθι μᾶλλον
Κέκλιται ΑΙΓΟΚΕΡΩΣ, ἵνα τε τρέπετ᾽ ἠελίου ἴς.
Μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσης
Πεπταμένῳ πελάγει κεχρημένος. οὔτε κεν ἠοῖ
Πολλὴν πειρήνειας, ἐπεὶ ταχινώταταί εἰσιν·
Οὔτ᾽ ἄν τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
Ἔλθοι καὶ μάλα πολλὰ βοωμένῳ. οἱ δ᾽ ἀλεγεινοὶ
Τῆμος ἐπιῤῥήσσουσι νότοι, ὁπότ᾽ Αἰγοκερῆϊ
Συμφέρετ᾽ ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστιν
Ναύτῃ μαλκιόωντι κακώτατον. ἀλλὰ καὶ ἔμπης
Ἤδη πάντ᾽ ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
Πορφύρει· ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσιν
Πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες

---

276. Sic Buhl. e Mosc. Vulgo τὰ δέ οἱ ἐπιτετρήχυνται 280. γρ. Κηφῆος
282. *Leg.* c. Arnaldo μέγα σκαίροντα 284. Par. C et Vind. Δεξι τάνυται
286. γρ. ἵνα sine τε γρ. ἠελίοιο, et ἠελίοιο ἴς.

287. θαλάσσης. Sic edd. ant. cum Vind. Par. C D: ceteri, θαλάσσῃ. Cf. Homerica λούεσθαι ποταμοῖο, κονίοντες πεδίοιο: et apud nostrum κρύπτεσθαι ὄρεος 564. θέειν γαίης 605. βεβολημένος Ἀρκτούροιο 609., alia. 291. γρ. ἢ μάλα. Tum βοωμένη legisse suspicantur Germanicum, qui habet, ***Multum** clamatos frustra expectaveris ortus*. 293. τότε δὲ plurimi. Vulgo δη (cum Par. C): Vat. 2. τότε τοι 294. κακώτατον Stob. Vulgo κακώτερον.

Ἥμεθ᾽, ἐπ᾽ αἰγιαλοὺς τετραμμένοι· οἱ δ᾽ ἔτι πόρσω
Κλύζονται· ὀλίγον δὲ διὰ ξύλον ἄϊδ᾽ ἐρύκει.
 Καὶ δ᾽ ἂν ἐπὶ προτέρῳ γε, θαλάσσῃ πολλὰ πεποιθώς,
Τόξον ὅτ᾽ ἠέλιος καίει καὶ ῥύτορα τόξου,
Ἑσπέριος κατάγοιο, πεποιθὼς οὐκέτι νυκτί.
Σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός.
Ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
ΤΟΞΕΥΤΗΣ· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων, ὁ δ᾽ ἀνέρχεται αὐτίκα μᾶλλον.
Τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτὸς
Ὕψι μάλα τροχάει, ὁ δὲ δύεται ἠῶθι πρὸ
Ἀθρόος Ὠρίων, Κηφεὺς δ᾽ ἀπὸ χειρὸς ἐπ᾽ ἰξύν.
 Ἐστι δέ τις προτέρω βεβλημένος ἄλλος ΟΪΣΤΟΣ
Αὐτὸς ἄτερ τόξου· ὁ δέ οἱ παραπέπταται Ὄρνις
Ἀσσότερον βορέω. Σχεδόθεν δέ οἱ ἄλλος ἄηται
Οὐ τόσσος μεγέθει, χαλεπός γε μὲν ἐξ ἁλὸς ἐλθεῖν
Νυκτὸς ἀπερχομένης· καί μιν καλέουσιν ΑΗΤΟΝ.
 ΔΕΛΦΙΣ δ᾽, οὐ μάλα πολλός, ἐπιτρέχει Αἰγοκερῆϊ
Μεσσόθεν ἠερόεις· τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
Γλήνεα, παρβολάδην δύο πὰρ δύο πεπτηῶτα.
 Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται· τὰ δὲ νειόθι τέλλεται ἄλλα
Πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου.
 Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς

---

298. Vat. 2. ἐς αἰγ. 301. Codicum mendosa plerorumque scriptura fluctuat inter καὶ ξύτορα et ξυτῆρά τε. 304. Voss. et Par. C ἔτι, quod displicet adhaerens voci πυμάτης.

311. γρ. δέ τοι 312. Vat. 2. γυμνὸς pro αὐτὸς 314. Grot. em. ἐλθὼν coll. schol. Sed ante oculos habuit Aratus Homericum, χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς Il. υ, 131. 315. γρ. ἐπερχ. 317. γρ. παρὰ: sed confer 337.

ΡΙΩΝ. μὴ κεῖνον ὅτις καθαρῇ ἐνὶ νυκτὶ
Ὑψοῦ πεπτηῶτα παρέρχεται, ἄλλα πεποίθοι
Οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι.
Τοῖός οἱ καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ
Φαίνεται ἀμφοτέροισι ΚΥΩΝ ἐπὶ ποσσὶ βεβηκὼς,
Ποικίλος, οὐ μὲν πάντα πεφασμένος· ἀλλὰ κατ' αὐτὴν
Γαστέρα κυάνεος περιτέλλεται, ἡ δέ οἱ ἄκρη
Ἀστέρι βέβληται δεινὴ γένυς, ὅς ῥα μάλιστα
Ὀξέα σειριάει· καί μιν καλέουσ' ἄνθρωποι
ΣΕΙΡΙΟΝ. οὐκέτι κεῖνου ἅμ' ἠελίῳ ἀνιόντα
Φυταλιαὶ ψεύδονται ἀναλδέα φυλλιόωσαι.
Ῥεῖα γὰρ οὖν ἔκρινε διὰ στίχας ὀξὺς ἀΐξας,
Καὶ τὰ μὲν ἔῤῥωσεν, τῶν δὲ φλόον ὤλεσε πάντα.
Κείνου καὶ κατιόντος ἀκούομεν· οἱ δὲ δὴ ἄλλοι,
Σῆμ' ἔμεναι μελέεσσιν, ἐλαφρότεροι περίκεινται.
Ποσσὶν δ' Ὠρίωνος ὑπ' ἀμφοτέροισι ΛΑΓΩΟΣ
Ἐμμενὲς ἤματα πάντα διώκεται. αὐτὰρ ὅγ' αἰεὶ
Σείριος ἐξόπιθεν φέρεται μετιόντι ἐοικὼς,
Καί οἱ ἐπαντέλλει, καί μιν κατιόντα δοκεύει.
Ἡ δὲ Κυνὸς μεγάλοιο κατ' οὐρὴν ἕλκεται ΑΡΓΩ
Πρυμνόθεν· οὐ γὰρ τῇγε κατὰ χρέος εἰσὶ κέλευθοι,

---

323. ἐνὶ νυκτὶ plurimi. Vulgo ἐπὶ ν.

327. Vulgo ὑπὸ ποσσὶν, quod manifesto falsum. Quid revera sit sub pedibus Orionis traditur v. 338. Itaque, si quae alia, certa est emendatio Arnaldi, ἐπὶ ποσσί. Schol. ποσσὶν ἀμφοτέροισιν, ἤτοι τοῖς ὀπισθίοις. ἐπ' αὐτῶν γὰρ βεβηκώς ἐστιν. Iam cum in codd. nonnullis scriptum sit Φαίνετ' ἀμφοτέροισι, suspicari possis, antiquam scripturam, Φαίνετ' ὀπισθοτέροισι, eodem fere quo supra 148. peccato oblitteratam fuisse. Sed cf. 1109. et 1136., ubi itidem ἀμφοτέροις est pro δυοῖν, et altero quidem loco de posterioribus, altero de anterioribus pedibus. Cf. etiam supra 236. de Trigoni ἀμφοτέραις πλευραῖς. 328. οὐ μὲν Vat. 2. Vulgo ἀλλ' οὐ

330. δεινὴ scripti omnes; δεινῇ editi quidam. 336. Vulgo δέ οἱ: sed δὲ δὴ habent codd. plurimi et optimi. Cf. Od. α, 26. 341. γρ. διώκει

Ἀλλ' ὄπιθεν φέρεται τετραμμένη, οἷα καὶ ἄλλαι
Νῆες, ὅτ' ἤδη ναῦται ἐπιςρέψωσι κορώνην
Ὅρμον ἐσερχόμενοι· τὴν δ' αὐτίκα πᾶς ἀνακόπτει
Νῆα, παλιῤῥοθίη δὲ καθάπτεται ἠπείροιο·
Ὣς ἥγε πρύμνηθεν Ἰησονὶς ἕλκεται Ἀργώ.
Καὶ τὰ μὲν ἠερίη καὶ ἀναςερος ἄχρι παρ' αὐτὸν
Ἱςὸν ἀπὸ πρώρης φέρεται, τὰ δὲ πᾶσα φαεινή.
Καί οἱ πηδάλιον κεχαλασμένον ἐςήρικται
Ποσσὶν ὑπ' οὐραίοισι Κυνὸς προπάροιθεν ἰόντος.
Τὴν δὲ καὶ οὐκ ὀλίγον περ ἀπόπροθι πεπτηυῖαν
Ἀνδρομέδην μέγα ΚΗΤΟΣ ἐπερχόμενον κατεπείγει.
Ἡ μὲν γὰρ Θρηΐκος ὑπὸ πνοιῇ Βορέαο
Κεκλιμένη φέρεται, τὸ δέ οἱ νότος ἐχθρὸν ἀγινεῖ
Κῆτος, ὑπὸ Κριῷ τε καὶ Ἰχθύσιν ἀμφοτέροισιν,
Βαιὸν ὑπὲρ Ποταμοῦ βεβλημένον ἀςερόεντος.
Οἷον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορεῖται
Λείψανον ΗΡΙΔΑΝΟΙΟ, πολυκλαύτου ποταμοῖο.
Καὶ τὸ μὲν Ὠρίωνος ὑπὸ σκαιὸν πόδα τείνει·
Δεσμοὶ δ' οὐραῖοι, τοῖς Ἰχθύες ἄκροι ἔχονται,
Ἄμφω συμφορέονται ἀπ' οὐραίων κατιόντες·
Κητείης δ' ὄπιθεν λοφίης ἐπιμὶξ φορέονται
Εἰς ἓν ἐλαυνόμενοι· ἑνὶ δ' ἀςέρι πειραίνονται
Κήτεος, ὃς κείνου πρώτη ἐπίκειται ἀκάνθη.
Οἱ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ
Μεσσόθι πηδαλίου καὶ Κήτεος εἱλίσσονται,

344. ἄλλαι Voss. coll. schol. ᾗ, εἰς τοὐναντίον φέρεται — ὥσπερ καὶ ἄλλαι νῆες. Vulgo αὐταὶ 345. ὅτ' ἤδη codd. longe plur. Vulgo ὅταν δὴ Tum ἐπιςρέψωσι repositum e Mosc. et Bekkerianis octo. Vulgo ἐπιτρέψ.

349. ἄχρι codd. longe plur. Vulgo οἷα 359. οἷον, quo augetur notio vocis λείψανον, praebuit Vat. 2. Vulgo οἷον: cum tamen admirationi nullus in reliquiis istis, minime lucidis illis, relictus sit locus. 362. Par. C ἀμφὶς ἔχονται

Γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ
Νώνυμοι· οὐ γὰρ τοίγε τετυγμένου εἰδώλοιο
Βεβλέαται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
Ἑξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
Αὐομένων ἐτέων· τά τις ἀνδρῶν οὐκέτ' ἐόντων
Ἐφράσατ' ἠδ' ἐνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι
Ἤλιθα μορφώσας. οὐ γάρ κ' ἐδυνήσατο πάντων
Οἰόθι κεκριμένων ὄνομ' εἰπεῖν, οὐδὲ δαῆναι.
Πολλοὶ γὰρ πάντη, πολέων δ' ἐπὶ ἶσα πέλονται
Μέτρα τε καὶ χροιὴ, πάντες γε μὲν ἀμφιέλικτοι.
Τῷ καὶ ὁμηγερέας οἱ ἐείσατο ποιήσασθαι
Ἀστέρας, ὄφρ' ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος
Εἴδεα σημαίνοιεν. ἄφαρ δ' ὀνομαστὰ γένοντο
Ἄστρα, καὶ οὐκέτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ.
Ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισιν
Φαίνονται· τὰ δ' ἔνερθε διωκομένοιο Λαγωοῦ
Πάντα μάλ' ἠερόεντα, καὶ οὐκ ὀνομαστὰ φέρονται.
Νειόθι δ' Αἰγοκερῆος, ὑπὸ πνοιῇσι νότοιο,
ΙΧΘΥΣ ἐς Κῆτος τετραμμένος αἰωρεῖται
Οἶος ἀπὸ προτέρων, ΝΟΤΙΟΝ δέ ἑ κικλήσκουσιν.
Ἄλλοι δὲ, σποράδην ὑποκείμενοι Ὑδροχοῆϊ,
Κήτεος αἰθερίοιο καὶ Ἰχθύος ἠερέθονται
Μέσσοι νωχελέες καὶ ἀνώνυμοι· ἐγγύθι δέ σφεων,
Δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ Ὑδροχόοιο,
Οἵη τίς τ' ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
Σκιδναμένου, χαροποὶ καὶ ἀναλδέες εἱλίσσονται.

---

377. ἐπὶ ἶσα non sollicitandum. Vid. Il. μ, 436. Pind. Nem. 5, 7. 378. Hipparchus τε μέν 381. γένοντο. Ita sex e Bekkerianis. Vulgo γένοιτο pendens a superioribus.

391. μέσσοι codd. longe plurimi. Vulgo μεσσόθι 394. Vulgo Κιδναμένου,

Ἐν δέ σφιν δύο μᾶλλον ἐειδόμενοι φορέονται
Ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὔτε μάλ᾽ ἐγγύς·
Εἷς μὲν ὑπ᾽ ἀμφοτέροισι ποσὶν καλός τε μέγας τε
Ὑδροχόου, ὁ δὲ κυανέου ὑπὸ Κήτεος οὐρῇ.
Τοὺς πάντας καλέουσιν ὙΔΩΡ. Ὀλίγοι γε μὲν ἄλλοι
Νειόθι Τοξευτῆρος ὑπὸ προτέροισι πόδεσσιν
Ἄγνωτοι κύκλῳ περιηγέες εἱλίσσονται.
 Αὐτὰρ ὑπ᾽ αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο
Σκορπίου, ἄγχι νότοιο, ΘΥΤΗΡΙΟΝ αἰωρεῖται.
Τοῦ δ᾽ ἤτοι ὀλίγον περ ἐπὶ χρόνον ὑψόθ᾽ ἐόντος
Πεύσεαι· ἀντιπέρην γὰρ ἀείρεται Ἀρκτούροιο.
Καὶ τῷ μὲν μάλα πάγχυ μετήοροί εἰσι κέλευθοι
Ἀρκτούρῳ, τὸ δὲ θᾶσσον ὑφ᾽ ἑσπερίην ἅλα νεῖται.
Ἀλλ᾽ ἄρα καὶ περὶ κεῖνο Θυτήριον ἀρχαίη Νὺξ,
Ἀνθρώπων κλαίουσα πόνον, χειμῶνος ἔθηκεν
Εἰναλίου μέγα σῆμα. κεδαιόμεναι γὰρ ἐκείνῃ
Νῆες ἄπο φρενός εἰσι. τὰ δ᾽ ἄλλοθεν ἄλλα πιφαύσκει
Σήματ᾽, ἐποικτείρουσα πολυῤῥοθίους ἀνθρώπους.
Τῷ μή μοι πελάγει νεφέων εἰλυμένον ἄλλων
Εὔχεο μεσσόθι κεῖνο φαήμεναι οὐρανῷ ἄστρον,
Αὐτὸ μὲν ἀνέφελόν τε καὶ ἀγλαὸν, ὕψι δὲ μᾶλλον
Κυμαίνοντι νέφει πεπιεσμένον, οἷά τε πολλὰ

---

quod rejeci non solum ob usum aliorum poetarum, decurtatam formam sine causa non admittentium, sed motus auctoritate codicum, non quidem plurium, sed praestantiorum, in quibus Vat. 2. Par. C. 401. Loco molestae vulgatae, Δινωτῷ (vel —οί) κύκλῳ περιηγέες, Grotius hanc nostram scripturam e Cic. (*sine nomine*) et Germ. (*sine honore corona*) eruit. 404. ὀλίγον περ Steph. in marg. Vulgo μὲν 411. ἄπο φρενός. Verum hunc praepositionis accentum Bekker e quinque suorum enotavit. Neque aliter olim apud Homerum, ἄπο θυμοῦ, ἄπο δόξης. Vid Heyn. ad Il. κ, 324. Bast. ad Greg. p. 210. 413. γρ. εἰλυμένων. Laur. et Schol. εἰλυμένος. Schol. γρ. κεκλιμένος. Vind. εἰλυμένος ἄλλο. Conclamatum locum Vossius ita tentat: νεφέων εἰλυμένον ἀχλυῖ, quod

Θλίβετ' ἀναστέλλοντος ὀπωρινοῦ ἀνέμοιο.
Πολλάκι γὰρ καὶ τοῦτο νότῳ ἔπι σῆμα τιτύσκει
Νὺξ αὐτὴ, μογεροῖσι χαριζομένη ναύτῃσιν.
Οἱ δ' εἰ μέν κε πίθωνται ἐναίσιμα σημαινούσῃ,
Αἶψά τε κοῦφά τε πάντα καὶ ἄρτια ποιήσωνται,
Αὐτίκ' ἐλαφρότερος πέλεται πόνος· εἰ δέ κε νηῒ
Ὑψόθεν ἐμπλήξῃ δεινὴ ἀνέμοιο θύελλα
Αὔτως ἀπρόφατος, τὰ δὲ λαίφεα πάντα ταράξῃ·
Ἄλλοτε μὲν καὶ πάμπαν ὑπόβρυχα ναυτίλλονται,
Ἄλλοτε δ', αἴκε Διὸς παρανισσομένοιο τύχωσιν
Εὐχόμενοι, βορέω δὲ παρατρέψῃ ἀνέμου ἴς,
Πολλὰ μάλ' ὀτλήσαντες ὅμως πάλιν ἐσκέψαντο
Ἀλλήλους ἐπὶ νηΐ. νότον δ' ἐπὶ σήματι τούτῳ
Δείδιθι, μέχρι βορῆος ἀπαστράψαντος ἴδηαι.
Εἰ δέ κεν ἑσπερίης μὲν ἁλὸς ΚΕΝΤΑΥΡΟΥ ἀπείη
Ὦμος, ὅσον προτέρης, ὀλίγη δέ μιν εἰλύοι ἀχλὺς
Αὐτὸν, ἀτὰρ μετόπισθεν ἐοικότα σήματα τεύχοι
Νὺξ ἐπὶ παμφανόωντι Θυτηρίῳ· οὔ σε μάλα χρὴ
Ἐς νότον, ἀλλ' εὔροιο περισκοπέειν ἀνέμοιο.
Δήεις δ' ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις·
Τοῦ γάρ τοι τὰ μὲν ἀνδρὶ ἐοικότα νειόθι κεῖται

---

referatur ad Turibulum. Malim *εἰλυμένος ἀχλυῖ*, de nauta noctis nubilae caligine circumdato. 417. *Θλίβετ' ἀναστέλλοντος*. Ita dimidia pars codicum in quibus Vat. 2. Par. C: ceteri corrupte *θλίβετ' ἀνατελλ.* et unus Par. E *θλίβεται ἀντελλ.* quemadmodum correxerat etiam Grotius. Mihi codices deserendi non videbantur. *Ἀναστέλλει, rejicit,* ventus nubila; quae sic *θλίβεται*. *ἀνέμοιο* Vat. 2. Mosc. et Par. A: ceteri et edd. ante Vossium, *βορέαο*. Cic. et Germ. nonnisi austrum hic memorant; Avienus ventum, et mox notum, ut noster textus.

427. Codd. plurimi *ἀνέμοιο*, voce *ἴς* aut male adjecta, aut omissa, aut alibi inserta: correxit Buhl. e cod. Dorvill. cui acc. Par. A. 429. *ἐπὶ νηΐ* Vat. 2. Mosc. Par. A. Vulgo *νῆα*. *βορῆος* de vento ne intelligas: est plaga caeli bore-

Σκορπίου, ἱππούραια δ' ὑπὸ σφίσι Χηλαὶ ἔχουσιν.
Αὐτὰρ ὁ δεξιτερὴν αἰεὶ τανύοντι ἔοικεν
Ἀντία δινωτοῖο Θυτηρίου. ἐν δέ οἱ ἀπρὶξ
Ἄλλο μάλ' ἐσφήκωται, ἐληλάμενον διὰ χειρὸς,
ΘΗΡΙΟΝ· ὣς γάρ μιν πρότεροι διεφημίξαντο.
Ἀλλ' ἔτι γάρ τε καὶ ἄλλο περαιόθεν ἕλκεται ἄστρον·
ὙΔΡΗΝ μιν καλέουσι. τὸ δὲ ζώοντι ἐοικὸς
Ἠνεκὲς εἰλεῖται· καί οἱ κεφαλὴ ὑπὸ μέσσον
Καρκίνου ἱκνεῖται, σπείρη δ' ὑπὸ σῶμα Λέοντος·
Οὐρὴ δὲ κρέμαται ὑπὲρ αὐτοῦ Κενταύροιο.
Μέσση δὲ σπείρῃ ΚΡΗΤΗΡ, πυμάτῃ δ' ἐπίκειται
Εἴδωλον ΚΟΡΑΚΟΣ σπείρην κόπτοντι ἐοικός.
Καὶ μὴν καὶ ΠΡΟΚΥΩΝ Διδύμοις ὕπο καλὰ φαείνει.
Ταῦτά κε θηήσαιο παρερχομένων ἐνιαυτῶν
Ἑξείης παλίνωρα· τὰ γὰρ καὶ πάντα μάλ' αὔτως
Οὐρανῷ εὖ ἐνάρηρεν ἀγάλματα νυκτὸς ἰούσης.
Οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες, οὐδὲν ὁμοῖοι,
Παντόθεν εἰδώλων δυοκαίδεκα δινεύονται.
Οὐκ ἂν ἔτ' εἰς ἄλλους ὁρόων ἐπιτεκμήραιο
Κείνων, ᾗχι κέονται· ἐπεὶ πάντες μετανάσται.
Μακροὶ δέ σφεων εἰσὶν ἑλισσομένων ἐνιαυτοὶ,
Μακρὰ δὲ σήματα κεῖται ἀπόπροθεν εἰς ἓν ἰόντων.

---

alis, qua *stellis fulgente* signum illud non amplius metuendum est. 438. γρ. ἄγουσιν 442. γρ. πρότερον et ἐπεφ. 443. τε deest in omnibus praeter Par. C et Vind. Sed Vat. 2. et Mosc. post καὶ inserunt iterum ἔτ': unde conjicio poëtam dedisse, Ἀλλ' ἔτι γὰρ καὶ ἐπ' ἄλλο π. ἕλκεται α.

450. Καὶ μὴν καὶ. Sic Vat. 1. a pr. m. Vulgo Ναὶ μ. κ. 452. Conf. Schneid. Lex. in παλίνωρος, Elmsl. ad Aristoph. Ach. 1194. Supra 54. est παλίνορσος: atque utramque suo loco vocem agnoscit Schol. Si ab uno eodemque verbo descenderent ambae, unam utrobique usurpatam crederem: nunc altera est ab ἔρξω, altera ab ὄρνυμι, quibus alternare potuit poeta. 457. κείνων edd. cum Par. C

Οὐκέτι θαρσαλέος κείνων ἐγὼ ἄρκιος εἴην
Ἀπλανέων τά τε κύκλα τά τ' αἰθέρι σήματ' ἐνισπεῖν.
Ἤτοι μὲν τάγε κεῖται, ἀλίγκια δινωτοῖσιν,
Τέσσαρα, τῶν κε μάλιστα πέθῃ ὄφελός τε γένοιτο
Μέτρα περισκοπέοντι κατανομένων ἐνιαυτῶν.
Σήματα δ' εὖ μάλα πᾶσιν ἐπιῤῥήδην περίκειται
Πολλά τε καὶ σχεδόθεν πάντῃ συνεεργμένα πάντα.
Αὐτοὶ δ' ἀπλατέες καὶ ἀρηρότες ἀλλήλοισιν
Πάντες· ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται.
Εἴ ποτέ τοι νυκτὸς καθαρῆς, ὅτε πάντας ἀγαυοὺς
Ἀςέρας ἀνθρώποις ἐπιδείκνυται οὐρανίη Νὺξ,
Οὐδέ τις ἀδρανέων φέρεται διχόμηνι σελήνῃ,
Ἀλλὰ τάγε κνέφαος διαφαίνεται ὀξέα πάντα·
Εἴ ποτέ τοι τημόσδε περὶ φρένας ἵκετο θαῦμα,
Σκεψαμένῳ πάντῃ κεκεασμένον εὐρέϊ κύκλῳ
Οὐρανὸν, ἤ καί τίς τοι ἐπιςὰς ἄλλος ἔδειξεν
Κεῖνο περιγληνὲς τροχαλόν· ΓΑΛΑ μιν καλέουσιν·
Τῷ δ' ἤτοι χροιὴν μὲν ἀλίγκιος οὐκέτι κύκλος
Δινεῖται, τὰ δὲ μέτρα τόσοι πισύρων περ ἐόντων
Οἱ δύο, τοὶ δέ σφεων μέγα μείονες εἱλίσσονται.
Τῶν ὁ μὲν ἐγγύθεν ἐςὶ κατερχομένου Βορέαο.

---

et a pr. m. Vat. 2. Ceteri κείνους 460. γρ. Οὐδ' ἔτι

466. *Leg.* συνεερμένα. Cf. Var. lect. ad Od. ο, 460. σ, 295. 467. ἀπλατέες Vind. et Hipparch.: in ceteris tamen omnibus ἀπλανέες 469. Cic. *Nam si nocturno*: unde libenter assumerem Εἰ γάρ τοι: legitimus esset causalis iste nexus ob ea quae subsequuntur a v. 477. quaeque referuntur ad v. 468. Ac rite quoque istud exordium Εἰ γάρ τοι, mox resumeretur omisso γάρ et addito nunc demum ποτέ v. 473. 471. γρ. νεόμηνι 475. ἐπιςὰς Buhl. e Mosc. cui acc. Vat. 2. Ceteri codd. ὑποςὰς 476. περιγληνὲς libri omnes. Ach. Tat. per errorem περίγληνον. Vox πυρίγληνον, quam Herm. ad Orph. p. 824. hic olim lectam fuisse suspicabatur, a γλήνη legitime illa quidem formata, *fulgentibus oculis praeditum* significat: περιγληνές a γλῆνος (εος) *gemmis* vel *stellis* (318.) *circumdatum*.

Ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ Διδύμων φορέονται,
Ἐν δέ τε γούνατα κεῖται ἀρηρότος Ἡνιόχοιο,
Λαιὴ δὲ κνήμη καὶ ἀριστερὸς ὦμος ἐπ' αὐτῷ
Περσέος, Ἀνδρομέδης δὲ μέσην ἀγκῶνος ὕπερθεν
Δεξιτερὴν ἐπέχει· τὸ μέν οἱ θέναρ ὑψόθι κεῖται,
Ἀσσότερον Βορέαο, νότῳ δ' ἐπικέκλιται ἀγκών·
Ὁπλαὶ δ' Ἵππειοι, καὶ ὑπαύχενον Ὀρνίθειον
Ἄκρῃ σὺν κεφαλῇ, καλοί τ' Ὀφιούχεοι ὦμοι,
Αὐτὸν δινεύονται ἐληλάμενοι περὶ κύκλον·
Ἡ δ' ὀλίγον φέρεται νοτιωτέρη, οὐδ' ἐπιβάλλει,
Παρθένος· ἀλλὰ Λέων καὶ Καρκίνος· οἱ μὲν ἄρ' ἄμφω
Ἑξείης κέαται βεβλημένοι, αὐτὰρ ὁ κύκλος
Τὸν μὲν ὑπὸ στῆθος καὶ γαστέρα μέχρι παρ' αἰδῶ
Τέμνει, τὸν δὲ διηνεκέως ὑπένερθε χελείου
Καρκίνου, ἧχι μάλιστα διχαιόμενόν κε νοήσαις
Ὀρθὸν, ἵν' ὀφθαλμοὶ κύκλου ἑκάτερθεν ἴοιεν.
Τοῦ μὲν, ὅσον τε μάλιστα, δι' ὀκτὼ μετρηθέντος,
Πέντε μὲν ἔνδια στρέφεται, καθ' ὑπέρτερα γαίης,
Τὰ τρία δ' ἐν περάτῃ· θέρεος δέ οἱ ἐν τροπαί εἰσιν.
Ἀλλ' ὁ μὲν ἐν Βορέω περὶ Καρκίνον ἐστήρικται.
Ἄλλος δ' ἀντιόωντι νότῳ μέσον Αἰγοκερῆα

---

482. Vulgo ἐν δὲ τὰ, quod correxi e Par. A (Par. C ἐν δέ τι). Sic 505 pro δέ τε in XI Codd. est δὲ τὸ —. 485. μέν οἱ. Vid. ad 50. 492. Vulgo βεβολημ. quam formam Homerus quidem non sine sensus aliqua intensione usurpat: cf. Il. ξ, 28. λ, 659. cum ι, 3. et 9. Itaque scripturam βεβλημι quae eadem significatione — *stratus* — supra 358. de Ceto sine variatione legitur, Vossius hic quoque merito praetulit auctoritate cod. Mosc. cui nunc accedunt Vat. 2. et Par. C. Contra infra 609., ubi Bootes dicitur βεβολημένος Ἀρκτούροιο, codicum auctoritati nihil utique refragatur: immo sensus diversitas diversitatem formae tuetur. Neque hoc obstat quod eodem sensu v. 330. maxilla Canis dicitur βεβλῆσθαι ἀστέρι Sirio: ibi enim metro altera forma arcetur; βεβλῆσθαι autem locum habet ubicunque βεβολῆσθαι, non vice versa hoc, ubicunque illud.

Τέμνει, καὶ πόδας Ὑδροχόου, καὶ Κήτεος οὐρήν·
Ἐν δέ οἱ ἐςι Λαγωός· ἀτὰρ Κυνὸς οὐ μάλα πολλὴν
Αἴνυται, ἀλλ' ὁπόσην ἐπέχει ποσίν· ἐν δέ οἱ Ἀργὼ,
Καὶ μέγα Κενταύροιο μετάφρενον, ἐν δέ τε κέντρον
Σκορπίου· ἐν καὶ τόξον ἀγαυοῦ Τοξευτῆρος,
Τὸν πύματον καθαροῖο παρερχόμενος βορέαο
Ἐς νότον ἠέλιος φέρεται· τρέπεταί γε μὲν αὐτοῦ
Χειμέριος. καί οἱ τρία μὲν περιτέλλεται ὕψου
Τῶν ὀκτὼ, τὰ δὲ πέντε κατώρυχα δινεύονται.
Μεσσόθι δ' ἀμφοτέρων, ὅσσος πολιοῖο γάλακτος,
Γαῖαν ὑποςρέφεται κύκλος διχόωντι ἐοικώς·
Ἐν δέ οἱ ἤματα νυξὶν ἰσαίεται ἀμφοτέρῃσιν,
Φθίνοντος θέρεος, τοτὲ δ' εἴαρος ἱςαμένοιο.
Σῆμα δέ οἱ Κριός, Ταύροιό τε γούνατα κεῖται.
Κριὸς μὲν κατὰ μῆκος ἐληλάμενος διὰ κύκλου,
Ταύρου δὲ σκελέων ὅσση περιφαίνεται ὀκλάξ.
Ἐν δέ τέ οἱ ζώνη εὐφεγγέος Ὠρίωνος,
Καμπή τ' αἰθομένης Ὕδρης· ἐνί οἱ καὶ ἐλαφρὸς
Κρητὴρ, ἐν δὲ Κόραξ, ἐνὶ δ' ἀςέρες οὐ μάλα πολλοὶ
Χηλάων· ἐν τῷ δ' Ὀφιοῦχεα γοῦνα φορεῖται.
Οὐ μὴν Αἰητοῦ ἀπομείρεται, ἀλλά οἱ ἐγγὺς
Ζηνὸς ἀητεῖται μέγας ἄγγελος. ἡ δὲ κατ' αὐτὸν

---

512. *διχόωντι* Palat. et duo alii: vulgo *διχάοντι*: sed infra aliquoties *διχόωσι*, *διχόωνται*. 517. Male in lexica hinc relatum ἡ *ὄκλαξ*. Immo *ὀκλάξ* hic quoque est adverbium pertinens ad verbum *περιφαίνεται*, et ante *ὅση* intell. *τόση μοίρη*: cf. 503. 504. 521. Voss. *ἐνί οἱ δ'* Tum Vat. 2. et Hipparch. *γούνατα κεῖται* 522. Vulgo *ἀπαμείρεται*; quod contra naturam verbi *ἀμείρειν*, *privare*, putant esse *aufert*, *sibi vindicat*, hic et ap. Hes. ε. 576.: v. Schneid. in v. Veram scripturam, *ἀπομείρεται*, quod nihil differt a *μείρεται*, ut apud Herodotum *ἀπολαχεῖν* nihil a *λαχεῖν* (v. Schweigh. Lex.), Vossius utroque loco vindicat, hic quidem ex parte codicum eam reponens primus. Vat. 2. Par. C, Hipparch. *ἀλλὰ μάλ' ἐγγὺς* 523. Vat. 2. *ταχὺς ἄγγελος*

Ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.
Τοὺς μὲν παρβολάδην ὀρθοὺς περιβάλλεται ἄξων,
Μεσσόθι πάντας ἔχων· ὁ δὲ τέτρατος ἐσφήκωται
Λοξὸς ἐν ἀμφοτέροις, οἵ μίν ῥ᾽ ἑκάτερθεν ἔχουσιν
Ἀντιπέρην τροπικοὶ, μέσσος δέ ἑ μεσσόθι τέμνει.
Οὔ κεν Ἀθηναίης χειρῶν δεδιδαγμένος ἀνὴρ
Ἄλλῃ κολλήσειε κυλινδόμενα τροχάλεια
Τοῖά τε καὶ τόσα πάντα περισφαιρηδὸν ἑλίσσων,
Ὡς τάγ᾽ ἐναιθέρια πλαγίῳ συναρηρότα κύκλῳ
Ἐξ ἠοῦς ἐπὶ νύκτα διώκεται ἤματα πάντα.
Καὶ τὰ μὲν ἀντέλλει καὶ αὐτίκα νειόθι δύνει
Πάντα παραβλήδην· μία δέ σφεων ἐστὶν ἑκάστου
Ἑξείης ἑκάτερθε κατηλυσίη τ᾽ ἄνοδός τε.
Αὐτὰρ ὅγ᾽ ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
Ὅσσον ἀπ᾽ Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνον εἰς ἀνιόντα κυλίνδεται. ὅσσον ἁπάντη
Ἀντέλλων ἐπέχει, τόσσον γε μὲν ἀλλόθι δύνων.
Ὅσσον δ᾽ ὀφθαλμοῖο βολὶς ἀποτείνεται αὐγῇ,
Ἑξάκις ἂν τόσση μιν ὑπεκδράμοι. αὐτὰρ ἑκάστη
Ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα.
Ζωΐδίων δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν.

---

529. Voss. Ἀθηναίη Tum idem ex Ach. Tat. δεδαημένος 530. κολλήσειε. Voss. e Schol. Vulgo κολλήσαιτο. Ach. Tat. κοσμήσειε 534. γρ. ἀντία. Vid. Exc. II, 2. 541. Vulgo βολῆς ἀποτέμνεται αὐγή. Exquisitum βολίς (flexum fortasse -ίς, ῖδος), translatum a fulguribus, dederunt Mosc. et Par. A, explicatque Sporus in Schol. Verbum ἀποτείνεται praebuerunt Hipp. et explicatio scholiastae, γίνεται εὐθεῖα. Forma autem neutrius generis Ὅσσον non est sollicitanda, ad quam bene refertur τόσση h. e. γραμμή ellipsi sollemni. 544. Vulgo Ζωΐδιον, adjectivo contra analogiam formato: veram lectionem perspexit Vossius: eamque manifesto prodit etiam argumentatio grammatici, qui hunc versum excitat ap. Etym. M. v. Ζῴδιον.

Τῷ ἔνι Καρκίνος ἐςὶ, Λέων δ' ἐπὶ τῷ, καὶ ὑπ' αὐτὸν
Παρθένος· αἱ δ' ἐπί οἱ Χηλαὶ, καὶ Σκορπίος αὐτὸς,
Τοξευτής τε, καὶ Αἰγόκερως, ἐπὶ δ' Αἰγοκερῆϊ
Ὑδροχόος· δύο δ' αὐτὸν ἔπ' Ἰχθύες ἀςερόωνται·
Τοὺς δὲ μέτα Κριὸς, Ταυρὸς δ' ἐπὶ τῷ Δίδυμοί τε.
Ἐν τοῖς ἠέλιος φέρεται δυοκαίδεκα πᾶσιν
Πάντ' ἐνιαυτὸν ἄγων, καί οἱ περὶ τοῦτον ἰόντι
Κύκλον ἀέξονται πᾶσαι ἐπικάρπιοι ὧραι.
Τοῦ δ' ὅσσον κοίλοιο κατ' ὠκεανοῖο δύηται,
Τόσσον ὑπὲρ γαίης φέρεται· πάσῃ δ' ἐπὶ νυκτὶ
Ἓξ αἰεὶ δύνουσι δυωδεκάδες κύκλοιο,
Τόσσαι δ' ἀντέλλουσι. τόσον δ' ἐπὶ μῆκος ἑκάςη
Νὺξ αἰεὶ τετάνυςαι, ὅσον τέ περ ἥμισυ κύκλου
Ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης.
Οὔ κεν ἀπόβλητον δεδοκημένῳ ἤματος εἴη,
Μοιράων σκέπτεσθαι ὅτ' ἀντέλλῃσιν ἑκάςη·
Αἰεὶ γὰρ τάωνγε μιῇ συνανέρχεται αὐτὸς
Ἠέλιος. τὰς δ' ἂν κε περισκέψαιο μάλιςα
Εἰς αὐτὰς ὁρόων· ἀτὰρ εἰ νεφέεσσι μέλαιναι
Γίνοιντ', ἢ ὄρεος κεκρυμμέναι ἀντέλλοιεν,
Σήματ' ἐπερχομένῃσιν ἀρηρότα ποιήσασθαι.
Αὐτὸς δ' ἂν μάλα τοι κεράων ἑκάτερθε διδοίη

---

545. Λέων δ' Vat. 2. Vulgo τ'. Omni copula carent codd. plurimi. ὑπ' αὐτόν Par. C: vulgo ὑπ' αὐτοῦ 548. Mosc. cum tribus aliis αὐτῷ ἐπ': Vat. 2. et Cas. αὐτὸν ὑπ': tum loco ultimae vocis in codicibus libri de Plac. Philos. 1, 6. legitur ἀςερόωντες, ἀςερόεντες. In re dubia vulgatam retinui; quamvis verbum ἀςερόωνται aliunde ignotum sit; immo verbum quodcunque in hoc uno signo, dum cetera ab illo ἐςὶ pendent omnia, concinnitatis legibus adversari videatur. Voss. αὐτῷ ἔπ' ἰχθύες ἀςερόεντες: neque malum foret αὐτὸν ὕπ', ut versu 545. extr. ὑπ' αὐτόν.

562. ἄν κε, antiquissimam formam (Il. ν, 127. Od. ι, 334.), pro vulg. ἄν γε in

Ὠκεανὸς, τά τε πολλὰ περιςέφεται ἑοῖ αὐτῷ,
Νειόθεν ὀππῆμος κείνων φορέῃσιν ἑκάςην.
Οὔ οἱ ἀφαυρότατοι, ὅτε ΚΑΡΚΙΝΟΣ ἀντέλλῃσιν,
Ἀςέρες ἀμφοτέρωθεν ἑλισσόμενοι περίκεινται,
Τοὶ μὲν δύνοντες, τοὶ δ᾽ ἐξ ἑτέρης ἀνιόντες.
Δύνει μὲν Στέφανος, δύνει δὲ κατὰ ῥάχιν Ἰχθύς.
Ἥμισυ μέν κεν ἴδοιο μετήορον, ἥμισυ δ᾽ ἤδη
Ἐσχατιαὶ βάλλουσι κατερχομένου Στεφάνοιο.
Αὐτὰρ ὅγ᾽ ἐξόπιθεν τετραμμένος, ἄλλα μὲν οὔπω
Γαςέρι νειαίρῃ, τὰ δ᾽ ὑπέρτερα νυκτὶ φορεῖται.
Τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν Ὀφιοῦχον
Καρκίνος ἐκ γονάτων, κατάγει δ᾽ Ὄφιν αὐχένος ἐγγύς.
Οὐδ᾽ ἂν ἔτ᾽ Ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν,
Μείων ἠμάτιος, τὸ δ᾽ ἐπιπλέον ἔννυχος ἤδη.
Τέτρασι γὰρ μοίραις ἄμυδις κατιόντα Βοώτην
Ὠκεανὸς δέχεται· ὁ δ᾽ ἐπὴν φάεος κορέσηται,
Βουλυτῷ ἐπέχει πλεῖον δίχα νυκτὸς ἰούσης,
Ἦμος ὅτ᾽ ἠελίοιο κατερχομένοιο δύηται.

---

codd. longe plurimis servatam, commendavit Schaef. Melet. p. 125. 567. Vulgo περιςρέφεται. Verae lectionis indicium est haec scholii explicatio: ἅπερ πολλὰ ἐπιςιφανοῦται ἑαυτῷ καὶ ἐπίκειται. 568. Vera forma fuit haud dubie ὀπ-πῆμος. Sed consensum codicum, quanquam ex parte ὀπτῆμος exhibentium, reverendum arbitror, neglecto etiam Hipparcho.

575. Cum versus 572. prior pars uberius exponatur versibus 573. 574. e concinnitatis legibus utique exspectandum erat, verba Αὐτὰρ ὅγ᾽ ἐξόπ. ad posteriorem, quae est de Pisce, referri. Sed res ipsa non uno modo repugnat. Cum Hipparcho itaque aliisque veterum de Ingeniculo haec intelligenda. Neque tamen admitti potest ingeniosum Vossii inventum Αὐτὰρ ὁ Γνὺξ ὄπιθ. vel ob solam istam correptionem, qualem ne ante τρ quidem vel πλ et similia apud Aratum invenias, iis nominibus exceptis, quae, ut Δράκων, nisi migrata hac lege, versum intrare nequeunt. Dixerim itaque, poetam his ipsis verbis, ὅγ᾽ ἐξόπιθεν τετραμμένος, Ingeniculum indicare, cum notissimus sit hic signi istius ad horizontem et vicina omnia relatus situs: vid. 668. Fateor tamen, ita me in hac poetae oratione haerere, ut suspicer inter versus 574. 575. alium intercidisse. 581. γρ. ἤδη κατιόντα

Κεῖναί οἱ καὶ νύκτες ἐπ' ὀψὲ δύοντι λέγονται.
Ὡς οἱ μὲν δύνουσιν, ὁ δ' ἀντίος, οὐδὲν ἀεικὴς,
Ἀλλ' εὖ μὲν ζώνῃ, εὖ δ' ἀμφοτέροισι φαεινὸς
Ὤμοις Ὠρίων, ξίφεός γε μὲν ἶφι πεποιθὼς,
Πάντα φέρων Ποταμὸν, κέραος παρατείνεται ἄλλου.
Ἐρχομένῳ δὲ ΛΕΟΝΤΙ τὰ μὲν κατὰ πάντα φέρονται
Καρκίνῳ ὅσσ' ἐδύοντο· καὶ Αἰετός. αὐτὰρ ὅγε γνὺξ
Ἥμενος ἄλλα μὲν ἤδη, ἀτὰρ γόνυ καὶ πόδα λαιὸν
Οὔπω κυμαίνοντος ὑποστρέφει ὠκεανοῖο.
Ἀντέλλει δ' Ὕδρης κεφαλὴ, χαροπός τε Λαγωὸς,
Καὶ Προκύων, πρότεροί τε πόδες Κυνὸς αἰθομένοιο.
Οὐ μέν θην ὀλίγους γαίης ὑπὸ νείατα βάλλει
ΠΑΡΘΕΝΟΣ ἀντέλλουσα. Λύρη τότε Κυλληναίη
Καὶ Δελφὶς δύνουσι, καὶ εὐποίητος Ὀϊστός.
Σὺν τοῖς Ὄρνιθος πρῶτα πτερὰ μέσφα παρ' αὐτὴν
Οὐρὴν, καὶ Ποταμοῖο παρηορίαι σκιόωνται.
Δύνει δ' Ἱππείη κεφαλὴ, δύνει δὲ καὶ αὐχήν.
Ἀντέλλει δ' Ὕδρη μὲν ἐπιπλέον ἄχρι παρ' αὐτὸν
Κρητῆρα. φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους,
Ἕλκων ἐξόπιθεν πρύμνην πολυτειρέος Ἀργοῦς.
Ἡ δὲ θέει γαίης ἴσον διχόωσα κατ' αὐτὸν,
Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται.
Οὐδ' ἂν ἐπερχόμεναι ΧΗΛΑΙ, καὶ λεπτὰ φάουσαι,
Ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης
Ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.
Ἀργὼ δ' αὖ μάλα πᾶσα μετήορος ἔσσεται ἤδη·

---

586. Κεῖναί οἱ. Sic Vat. 2. pronomine jungendo cum participio. Vulgo τοι. 590. γρ. Ἀρχομένῳ: cf. ad 645. 604. Vulgo πρύμναν: vera forma est in Vat. 2. et in mendo Par. C πρύμνης. 609. βεβολημένος omnes: vid. ad 492. 610. Perperam vulgo δ' οὐ. Ad veritatem, quam praebent interpretes

Ἀλλ᾽ Ὕδρη, κέχυται γὰρ ἐν οὐρανῷ ἤλιθα πολλὴ,
Οὐρῆς ἂν δεύοιτο. μόνην δ᾽ ἐπὶ Χηλαὶ ἄγουσιν
Δεξιτερὴν κνήμην, αὐτῆς ἐπιγουνίδος ἄχρις,
Αἰεὶ γνὺξ, αἰεὶ δὲ Λύρῃ παραπεπτηῶτος,
Ὄντινα τοῦτον ἄϊςον ὑπουρανίων εἰδώλων
Ἀμφότερον δύνοντα καὶ ἐξ ἑτέρης ἀνιόντα
Πολλάκις αὐτονυχὶ θηεύμεθα. τοῦ μὲν ἄρ᾽ οἴη
Κνήμη σὺν Χηλῇσι φαείνεται ἀμφοτέρῃσιν·
Αὐτὸς δ᾽ ἐς κεφαλὴν ἔτι που τετραμμένος ἄλλῃ
Σκορπίον ἀντέλλοντα μένει καὶ ῥύτορα Τόξου·
Οἳ γάρ μιν φορέουσιν, ὁ μὲν μέσον ἄλλα τε πάντα,
Χεῖρα δέ οἱ σκαιὴν κεφαλῇ ἅμα Τόξον ἀγινεῖ.
Ἀλλ᾽ ὁ μὲν ὡς τρίχα πάντα καταμελεϊςὶ φορεῖται·
Ἥμισυ δὲ Στεφάνοιο καὶ αὐτὴν ἔσχατον οὐρὴν
Κενταύρου φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί.
Τῆμος ἀποιχομένην κεφαλὴν μεταδύεται Ἵππος,
Καὶ προτέρου Ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή.
Δύνει δ᾽ Ἀνδρομέδης κεφαλή· τὸ δέ οἱ μέγα δεῖμα
Κήτεος ἠερόεις ἐπάγει νότος· ἀντία δ᾽ αὐτὸς
Κηφεὺς ἐκ Βορέω μεγάλῃ ἀνὰ χειρὶ κελεύει.

---

latini, correxit Vossius. Cf. ad 1044. Tum idem ἔσσυται. Vat. 2. et Hipp. ἵςαται. 612. γρ. μόνον: et post hunc versum vulgo inseritur iste (613.)

Δεινὸν ἐφεςηῶτ᾽ Ὀφιούχεα· τοῦ μὲν ἔπειτα

quem tamen non habet Par. C cum IV aliis Bekkeri codd., neque agnoscunt Hipparchus neque scholiastes neque latini interpretes. 616. Vat. 2. et IV alii ἐπουρανίων 618. αὐτονυχὶ Par. C, Ach. Tat. Vulgo — εἰ 624. Non obloquimur Vossio apud Homerum, qui Il. ω, 409. habet μελεϊςί, etiam Od. ι, 291. σ, 339. διὰ μελεϊςί scribenti, quoniam recte ibi junxeris δια-ταμεῖν. Verum hoc nostro loco compositum κατα-φορεῖται sensui adversaretur. Finxit itaque sibi, quod licebat, Aratus, si non in usu invenit, voces καταμελεΐζειν, καταμελεϊςί. Dictionem autem, ὁ δεῖνα τρίχα πάντα καταμελεϊςὶ φορεῖται (*advehitur*), neque defendam magnopere, neque condemnem: certe τρία πάντα cum Vossio reponens, non satisfeceris. 631. Multi ἐν Βορέω: sed κελεύει ἐκ Βορέω praestat. Tum

Καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον ἄχρι παρ' αὐτὴν
Δύνει, ἀτὰρ Κηφεὺς κεφαλῇ καὶ χειρὶ καὶ ὤμῳ.
Καμπαὶ δ' ἂν Ποταμοῖο καὶ αὐτίκ' ἐπερχομένοιο
ΣΚΟΡΠΙΟΥ ἐμπίπτοιεν ἐϋῤῥόου ὠκεανοῖο·
Ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν Ὠρίωνα.
Ἄρτεμις ἱλήκοι· προτέρων λόγος· οἵ μιν ἔφαντο
Ἑλκῆσαι πέπλοιο, Χίῳ ὅτε θηρία πάντα
Καρτερὸς Ὠρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ,
Θήρης ἀρνύμενος κείνῳ χάριν Οἰνοπίωνι.
Ἡ δέ οἱ ἐξαυτῆς ἐπετείλατο θηρίον ἄλλο,
Νήσου ἀναῤῥήξασα μέσας ἑκάτερθε κολώνας,
Σκορπίον, ὅς ῥά μιν οὖτα, καὶ ἔκτανε πολλὸν ἐόντα
Πλειότερος προφανεὶς, ἐπεὶ Ἄρτεμιν ἤκαχεν αὐτήν.
Τοὔνεκα δὴ καί φασι, περαιόθεν ἐρχομένοιο
Σκορπίου, Ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν.
Οὐδ' ἔμεν', Ἀνδρομέδης καὶ Κήτεος ὅσσ' ἐλέλειπτο,
Κείνου ἔτ' ἀντέλλοντος· ἀπευθέες ἀλλ' ἄρα καὶ τοὶ
Πανσυδίῃ φεύγουσιν. ὁ δὲ ζώνῃ τότε Κηφεὺς
Γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα
Βάπτων ὠκεανοῖο, τὰ δ' οὐ θέμις. ἀλλὰ τάγ' αὐταὶ
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν.

---

vulgo κελεύων. Quod junctura poscit, κελεύει, dant Par. C et Cas.

638. Voss. Εἰλκύσθαι: ipse olim tentabam Ἡλκῆσθαι: sed nunc video, accusativum Ὠρίωνα, quem verbum ἑλκῆσαι requirit, cessisse nominativo, qui verbo ἐπέκοπτε adhaeret. 641. ἐξαυτῆς *confestim*. Vid. Brunck. ad Apoll. 4, 984. Tum pro vulg. ἐπετείνατο Vossius, apte comparans Apollon. 3, 264., e scholio adoptavit ἐπετείλατο, quod confirmatur mendosa Vat. 2. scriptura ἐπεστείλατο. 645. Sic Vind. et Par. C G: olim ἀρχομένοιο: cf. ad 590. 647. Vulgo Οὐδὲ μὲν et versu sq. Κεῖνου δ' ἀντέλλοντος ἀπευθέος· ἀλλ' ἄρα —, sine sensu et commissura. Pro δ' Vrat. et Par. G dederunt ἔτ': cetera res ipsa dictavit. „Illo adhuc surgente nil manebat eorum" cet. Tale imperfectum rei praesenti, vel quae solet fieri, junctum habes in hoc ipso verbo Hymn. Apoll. 5. Οὔτε (Apollinem) θεοὶ — τρομέουσιν ἰόντα, Καί ῥά τ' ἀναΐσσουσι — Πάντες

Ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλοιο
Δειλὴ Κασσιέπεια. τὰ δ᾽ οὐκέτι οἱ κατὰ κόσμον
Φαίνεται ἐκ δίφροιο, πόδες καὶ γούναθ᾽ ὕπερθεν,
Ἀλλ᾽ ἥγ᾽ ἐς κεφαλὴν ἴση δύετ᾽ ἀρνευτῆρι
Μειρομένη γονάτων· ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλεν ἐκείνη
Δωρίδι καὶ Πανόπῃ μεγάλων ἄτερ ἰσώσασθαι.
Ἡ μὲν ἄρ᾽ εἰς ἑτέρην φέρεται· τὰ δὲ νειόθεν ἄλλα
Οὐρανὸς ἀντιφέρει· Στεφάνοιό τε δεύτερα κύκλα,
Ὕδρης τ᾽ ἐσχατιήν· φορέει τ᾽ ἔπι Κενταύροιο
Σῶμά τε καὶ κεφαλὴν, καὶ Θηρίον ὅ ῥ᾽ ἐνὶ χειρὶ
Δεξιτερῇ Κένταυρος ἔχει. τοὶ δ᾽ αὖθι μένουσιν
Τόξον ἐπερχόμενον, πρότεροι πόδες ἱπποτάφηρος.
Τόξῳ καὶ σπείρῃ Ὄφιος καὶ σῶμ᾽ Ὀφιούχου
Ἀντέλλει ἐπιόντι· καρήατα δ᾽ αὐτὸς ἀγινεῖ
Σκορπίος ἀντέλλων, ἀνάγει δ᾽ αὐτὰς Ὀφιούχου
Χεῖρας, καὶ προτέρην Ὄφιος πολυτειρέα ἀγήν.
Τοῦ γε μὲν Ἐγγόνασιν· περὶ γὰρ τετραμμένος αἰεὶ
Ἀντέλλει· τότε μὲν περάτης ἐξέρχεται ἄλλα,

ἀφ᾽ ἑδράων—. Λητὼ δ᾽ οἵη μίμνε—. 655. γρ. πόδες καὶ χεῖρες 659. νειόθεν ἄλλα Voss. e var. lect. in Barb. cui accedit nunc Par. C. Olim νειόθι μᾶλλον.

661. γρ. φορέοι 664. Sic, pro vulg. ἱππότα φηρός, Mosc. ὑφ᾽ ἕν: quod reposui ne in re incerta codices desererem. Voss. ἱπποτόφηρος, magis sane ex analogia. Equidem, cum litteris αφ in Mosc. superscriptum sit ουθ, Par. A C autem pro varia lectione habeant ἱππότα θηρός, dudum conjeceram scribendum ἱπποτόθηρος.

668. Vulgo πολυτειρέος αὐγήν. Schneider, quem v. in Lex. v. ἀγή, veram secutus est substantivi lectionem ἀγὴν, quae nunc inventa est in Laur. et ad quam spectat explic. καμπὴν in schol. et apud Leontium (Buhl. p. 259.). Sine mendo eandem vocem exhibet infra quoque 729. unus codex; et eodem quo hic lapsu alius infra 687. περιαυγήν. Hic quidem vera lectio se prodiderat etiam hiatu in scriptura codicis Vind. πολυτειρέα αὐγήν: neque legitimus iste ante vocem ἀγή hiatus Arato eripi debet scribendo πολυτειρέος ἀγήν. Quippe non totus Serpens, sed hic primus ejus flexus, prae aliis signis illustratur luminibus contiguis.

Γυῖά τε καὶ ζώνη καὶ στήθεα πάντα καὶ ὦμος
Δεξιτερῇ σὺν χειρί· κάρη δ' ἑτέρης μετὰ χειρὸς
Τόξῳ ἀνέρχονται καὶ ΤΟΞΟΤΗΙ ἀντέλλοντι.
Σὺν τοῖς Ἑρμαίη τε Λύρη, καὶ στήθεος ἄχρις
Κηφεὺς ἠῴου παρελαύνεται ὠκεανοῖο.
Ἦμος καὶ μεγάλοιο Κυνὸς πᾶσαι ἀμαρυγαὶ
Δύνουσιν, καὶ πάντα κατέρχεται Ὠρίωνος,
Πάντα τε μὴν ἀτέλεστα διωκομένοιο Λαγωοῦ.
Ἀλλ' οὐχ Ἡνιόχῳ Ἔριφοι, οὐδ' Ὠλενίη Αἲξ
Εὐθὺς ἀπέρχονται· τὰ δέ οἱ μεγάλην ἀνὰ χεῖρα
Λάμπονται, καί οἱ μελέων διακέκριται ἄλλων,
Κινῆσαι χειμῶνας ὅτ' ἠελίῳ συνίωσιν.
Ἀλλὰ τὰ μὲν, κεφαλήν τε καὶ ἄλλην χεῖρα καὶ ἰξὺν,
ΑΙΓΟΚΕΡΩΣ ἀνιὼν κατάγει· τὰ δὲ νείατα πάντα
Αὐτῷ Τοξευτῆρι κατέρχεται. οὐδέ τι Περσεὺς,
Οὐδέ τι ἄκρα κόρυμβα μένει πολυτείρεος Ἀργοῦς.
Ἀλλ' ἤτοι Περσεὺς μὲν ἄτερ γουνός τε ποδός τε
Δεξιτεροῦ δύεται, Πρύμνης δ' ὅσον ἐς περιαγήν·
Αὐτὴ δ' Αἰγοκερῆϊ κατέρχεται ἀντέλλοντι·
Ἦμος καὶ Προκύων δύεται, τὰ δ' ἀνέρχεται ἄλλα,
Ὄρνις τ', Αἰητός τε, τά τε πτερόεντος Ὀϊστοῦ
Τείρεα, καὶ νοτίοιο Θυτηρίου ἱερὸς ἕδρη.
Ἵππος δ' ὙΔΡΟΧΟΟΙΟ νέον περιτελλομένοιο

671. ὦμος. Sic longe plurimi. Vulgo ὦμοι 678. πάντα τε. Vulgo γε: sed formulae γὲ μήν nullus hic locus. Reposui quod series orationis flagitabat. 686. Vossius bis οὐδ' ἔτι: quod secundo loco arguitur hiatu; qui legitimus est in voce τί 691. Laur. Ὄρνις τ' ἠδ' αἐτὸς

693. Pro νέον Hipparchus in omnibus exemplis inveniri narrat μέσον, idque explicat de corpore quod dimidiatum oriatur; Attalum autem, qui hoc non intellexerit, ait correxisse νέον. Quae mihi non ita vera videntur, ut transmissam nobis scripturam ideo mutem. Nam μέσον adverbialiter, de eo qui μέσος περιτέλλεται, non aeque dici poterat, ac νέον de eo qui nuper; apte autem νέον περιτέλλε-

Ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται· ἀντία δ᾽ Ἵππου
Ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἀστερίη Νύξ.
Ἀλλ᾽ οὔ οἱ δύναται κεφαλὴν, οὐδ᾽ εὐρέας ὤμους
Αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ᾽ αἴθοπος Ὕδρης
Αὐχενίην κατάγει σπείρην καὶ πάντα μέτωπα.
Ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει· ἀλλ᾽ ἄρα καὶ τὴν
Αὐτῷ Κενταύρῳ, ὁπότ᾽ ΙΧΘΥΕΣ ἀντέλλωσιν,
Ἀθρόον ἐμφέρεται. Ὁ δ᾽ ἐπ᾽ Ἰχθύσιν ἔρχεται Ἰχθὺς
Αὐτῷ κυανέῳ ὑποκείμενος Αἰγοκερῆϊ.
Οὐ μὲν ἅδην, ὀλίγον δὲ δυωδεκάδα μένει ἄλλην.
Οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι
Ἀνδρομέδης δίχα πάντα, τὰ μὲν πάρος, ἄλλα δ᾽ ὀπίσσω
Τείνεται, ὠκεανοῖο νέον ὁπότε προγένωνται
Ἰχθύες ἀμφότεροι. τὰ μέν οἱ κατὰ δεξία χειρὸς
Αὐτοὶ ἐφέλκονται, τὰ δ᾽ ἀριστερὰ νειόθεν ἕλκει
ΚΡΙΟΣ ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
Ἑσπερόθεν κεν ἴδοιο Θυτήριον· αὐτὰρ ἐν ἄλλῃ
Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους·
Αὐτὴ δὲ ζώνη, καὶ κ᾽ ἀμφήριστα πέλοιτο,
Ἢ Κριῷ λήγοντι φαείνεται, ἢ ἐπὶ ΤΑΥΡΩΙ,
Σὺν τῷ πανσυδίην ἀνελίσσεται. Οὐδ᾽ ὅγε Ταύρου
Λείπεται ἀντέλλοντος, ἐπεὶ μάλα οἱ συναρηρὼς
Ἡνίοχος φέρεται· μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ
Ἀθρόος ἀντέλλει, Δίδυμοι δέ μιν οὖλον ἄγουσιν.
Ἀλλ᾽ Ἔριφοι, λαιοῦ τε θέναρ ποδὸς, Αἰγὶ σὺν αὐτῇ

ται, de eo qui circumferri incipit, h. e. exoritur. 695. ἀστερίη louge plurimi. Laur. οὐρανίη, Ach. Tat. ἑσπερίη 696. γρ. ἠδ᾽ εὐρέας 703. γρ. δυωδεκάδ᾽ ἀμμένει 707. Si certum esset, iambum μὲν οἱ ab Arato non admitti, non male scripseris μὲν οἱ (οἱ, pisces), quae est altera Hermanni ratio (post Orph. p. 782.). Sed cf. versus 50. et 485., quibus veram medelam idem non attulit.

Ταύρῳ συμφορέονται· ὅτε λοφιή τε καὶ οὐρὴ
Κήτεος αἰθερίοιο περαιόθεν ἀντέλλωσιν.
Δύνει δ' Ἀρκτοφύλαξ ἤδη πρώτῃ τότε μοίρῃ
Τάων, αἳ πίσυρές μιν ἄτερ χειρὸς κατάγουσιν
Λαιῆς· ἡ δ' αὐτῷ μεγάλῃ ὑποτέλλεται Ἄρκτῳ.
Ἀμφότεροι δὲ πόδες καταδυομένου Ὀφιούχου,
Μέσφ' αὐτῶν γονάτων, ΔΙΔΥΜΟΙΣ ἔπι σῆμα τετύχθω
Ἐξ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι Κήτεος οὐδὲν
Ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.
Ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν
Ἀγὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,
Αὐτὸν ἐπ' Ὠρίωνα μένων· εἴ οἵ ποθι σῆμα
Ἢ νυκτὸς μέτρων ἠὲ πλόου ἀγγείλειεν.
Πάντῃ γάρ τάγε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσιν.

ΔΙΟΣΗΜΕΙΑ.

Οὐχ ὁράᾳς; ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
Ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει
Μηνός· ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
Ὅσσον ἐπισκιάειν, ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·

---

723. Magnus codicum consensus est in αὐτοῦ et ὑποτέλλεται et μεγάλη ἄρκτῳ; sed γρ. tamen αὐτῷ, et ἐπιτέλλεται, et μεγάλης ἄρκτου, et μεγάλη ἄρκτος. Ego Mosc. lectionem repraesentavi, quae commodum sensum dare visa est; αὐτῷ ad ipsum Booten relato. Contra αὐτοῦ, h. e. αὐτόθι, circuitui satis magno aptum non est. Verba autem, ὑποτέλλεται (h. e. πλησίον ἐστί, Schol.) ἄρκτῳ, quod verum est loquuntur.

729. Vulg. Καμπὴν. Ἀγὴν, licet ab uno hic Par. E oblatum, cur repudiarem non erat. Vid. ad 668. 731. μέτρων Par. D et var. lect. A. Vulgo μετρέν γ': codd. tamen plurimi γ' omittunt. γρ. πλόον

736. Voss. ὑποσκιάειν, collata explicatione Schol. ἀμυδρὰν σκιὰν, et Avieni *tenuem umbram*: verum hoc est in voce ὅσσον. Tum *fort.* ἄγουσα, ut jungatur, ἐπάγουσα τέταρτον ἦμαρ, ὀκτὼ δὲ ἤματα —, διχόμηνα δὲ —. Conf. Schol. Ὀκτὼ δὲ ἡμέρας ἄγει —.

Ἱππείῃ κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.
Τοὺς μὲν παρβολάδην ὀρθοὺς περιβάλλεται ἄξων,
Μεσσόθι πάντας ἔχων· ὁ δὲ τέτρατος ἐσφήκωται
Λοξὸς ἐν ἀμφοτέροις, οἳ μίν ῥ᾽ ἑκάτερθεν ἔχουσιν
Ἀντιπέρην τροπικοὶ, μέσσος δέ ἑ μεσσόθι τέμνει.
Οὔ κεν Ἀθηναίης χειρῶν δεδιδαγμένος ἀνὴρ
Ἄλλῃ κολλήσειε κυλινδόμενα τροχάλεια
Τοῖά τε καὶ τόσα πάντα περισφαιρηδὸν ἑλίσσων,
Ὡς τάγ᾽ ἐναιθέρια πλαγίῳ συναρηρότα κύκλῳ
Ἐξ ἠοῦς ἐπὶ νύκτα διώκεται ἤματα πάντα.
Καὶ τὰ μὲν ἀντέλλει καὶ αὐτίκα νειόθι δύνει
Πάντα παραβλήδην· μία δέ σφεων ἐστὶν ἑκάστου
Ἑξείης ἑκάτερθε κατηλυσίη τ᾽ ἄνοδός τε.
Αὐτὰρ ὅγ᾽ ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
Ὅσσον ἀπ᾽ Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνου εἰς ἀνιόντα κυλίνδεται. ὅσσον ἁπάντῃ
Ἀντέλλων ἐπέχει, τόσσον γε μὲν ἀλλόθι δύνων.
Ὅσσον δ᾽ ὀφθαλμοῖο βολὶς ἀποτείνεται αὐγῇ,
Ἑξάκις ἂν τόσση μιν ὑπεκδράμοι. αὐτὰρ ἑκάστη
Ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα.
Ζωϊδίων δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν.

---

529. Voss. Ἀθηναίῃ Tum idem ex Ach. Tat. δεδαημένος 530. κολλήσειε. Voss. e Schol. Vulgo κολλήσαιτο. Ach. Tat. κοσμήσειε 534. γρ. ἀντία. Vid. Exc. II, 2. 541. Vulgo βολῆς ἀποτέμνεται αὐγή. Exquisitum βολίς (flexum fortasse -ίς, ῖδος), translatum a fulguribus, dederunt Mosc. et Par. A, explicatque Sporus in Schol. Verbum ἀποτείνεται praebuerunt Hipp. et explicatio scholiastae, γίνεται εὐθεῖα. Forma autem neutrius generis Ὅσσον non est sollicitanda, ad quam bene refertur τόσση h. e. γραμμή ellipsi sollemni. 544. Vulgo Ζωΐδιον, adjectivo contra analogiam formato: veram lectionem perspexit Vossius: eamque manifesto prodit etiam argumentatio grammatici, qui hunc versum excitat ap. Etym. M. v. Ζῴδιον.

Τῷ ἔνι Καρκίνος ἐςὶ, Λέων δ' ἐπὶ τῷ, καὶ ὑπ' αὐτὸν
Παρθένος· αἱ δ' ἐπί οἱ Χηλαὶ, καὶ Σκορπίος αὐτὸς,
Τοξευτής τε, καὶ Αἰγόκερως, ἐπὶ δ' Αἰγοκερῆϊ
Ὑδροχόος· δύο δ' αὐτὸν ἔπ' Ἰχθύες ἀςερόωνται·
Τοὺς δὲ μέτα Κριὸς, Ταυρὸς δ' ἐπὶ τῷ Δίδυμοί τε.
Ἐν τοῖς ἠέλιος φέρεται δυοκαίδεκα πᾶσιν
Πάντ' ἐνιαυτὸν ἄγων, καί οἱ περὶ τοῦτον ἰόντι
Κύκλον ἀέξονται πᾶσαι ἐπικάρπιοι ὧραι.
Τοῦ δ' ὅσσον κοίλοιο κατ' ὠκεανοῖο δύηται,
Τόσσον ὑπὲρ γαίης φέρεται· πάσῃ δ' ἐπὶ νυκτὶ
Ἓξ αἰεὶ δύνουσι δυωδεκάδες κύκλοιο,
Τόσσαι δ' ἀντέλλουσι. τόσον δ' ἐπὶ μῆκος ἑκάςη
Νὺξ αἰεὶ τετάνυςαι, ὅσον τέ περ ἥμισυ κύκλου
Ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης.
Οὔ κεν ἀπόβλητον δεδοκημένῳ ἤματος εἴη,
Μοιράων σκέπτεσθαι ὅτ' ἀντέλλῃσιν ἑκάςη·
Αἰεὶ γὰρ τάωνγε μιῇ συνανέρχεται αὐτὸς
Ἠέλιος. τὰς δ' ἂν κε περισκέψαιο μάλιςα
Εἰς αὐτὰς ὁρόων· ἀτὰρ εἰ νεφέεσσι μέλαιναι
Γίνοιντ', ἢ ὄρεος κεκρυμμέναι ἀντέλλοιεν,
Σήματ' ἐπερχομένῃσιν ἀρηρότα ποιήσασθαι.
Αὐτὸς δ' ἂν μάλα τοι κεράων ἑκάτερθε διδοίη

545. Λέων δ' Vat. 2. Vulgo τ'. Omni copula carent codd. plurimi. ὑπ' αὐτόν Par. C: vulgo ὑπ' αὐτοῦ 548. Mosc. cum tribus aliis αὐτῷ ἐπ': Vat. 2. et Cas. αὐτὸν ὑπ': tum loco ultimae vocis in codicibus libri de Plac. Philos. 1, 6. legitur ἀςερόωντες, ἀςερόεντες. In re dubia vulgatam retinui; quamvis verbum ἀςερόωνται aliunde ignotum sit; immo verbum quodcunque in hoc uno signo, dum cetera ab illo ἐςὶ pendent omnia, concinnitatis legibus adversari videatur. Voss. αὐτῷ ἔπ' ἰχθύες ἀςερόεντες: neque malum foret αὐτὸν ὕπ', ut versu 545. extr. ὑπ' αὐτόν.

562. ἄν κε, antiquissimam formam (Il. ν, 127. Od. ι, 334.), pro vulg. ἄν γε in

Ὠκεανὸς, τά τε πολλὰ περιστέφεται ἑοῖ αὐτῷ,
Νειόθεν ὀππῆμος κείνων φορέῃσιν ἑκάστην.
Οὔ οἱ ἀφαυρότατοι, ὅτε ΚΑΡΚΙΝΟΣ ἀντέλλῃσιν,
Ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι περίκεινται,
Τοὶ μὲν δύνοντες, τοὶ δ᾽ ἐξ ἑτέρης ἀνιόντες.
Δύνει μὲν Στέφανος, δύνει δὲ κατὰ ῥάχιν Ἰχθύς.
Ἥμισυ μέν κεν ἴδοιο μετήορον, ἥμισυ δ᾽ ἤδη
Ἐσχατιαὶ βάλλουσι κατερχομένου Στεφάνοιο.
Αὐτὰρ ὅγ᾽ ἐξόπιθεν τετραμμένος, ἄλλα μὲν οὔπω
Γαστέρι νειαίρῃ, τὰ δ᾽ ὑπέρτερα νυκτὶ φορεῖται.
Τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν Ὀφιοῦχον
Καρκίνος ἐκ γονάτων, κατάγει δ᾽ Ὄφιν αὐχένος ἐγγύς.
Οὐδ᾽ ἂν ἔτ᾽ Ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν,
Μείων ἠμάτιος, τὸ δ᾽ ἐπιπλέον ἔννυχος ἤδη.
Τέτρασι γὰρ μοίραις ἄμυδις κατιόντα Βοώτην
Ὠκεανὸς δέχεται· ὁ δ᾽ ἐπὴν φάεος κορέσηται,
Βουλυτῷ ἐπέχει πλεῖον δίχα νυκτὸς ἰούσης,
Ἦμος ὅτ᾽ ἠελίοιο κατερχομένοιο δύηται.

---

codd. longe plurimis servatam, commendavit Schaef. Melet. p. 125. 567. Vulgo περιστρέφεται. Verae lectionis indicium est haec scholii explicatio: ἅπερ πολλὰ ἐπιστεφανοῦται ἑαυτῷ καὶ ἐπίκειται. 568. Vera forma fuit haud dubie ὀππῆμος. Sed consensum codicum, quanquam ex parte ὀπτῆμος exhibentium, reverendum arbitror, neglecto etiam Hipparcho.

575. Cum versus 572. prior pars uberius exponatur versibus 573. 574. e concinnitatis legibus utique exspectandum erat, verba Αὐτὰρ ὅγ᾽ ἐξόπ. ad posteriorem, quae est de Pisce, referri. Sed res ipsa non uno modo repugnat. Cum Hipparcho itaque aliisque veterum de Ingeniculo haec intelligenda. Neque tamen admitti potest ingeniosum Vossii inventum Αὐτὰρ ὁ Γνὺξ ὄπιθ. vel ob solam istam correptionem, qualem ne ante τρ quidem vel πλ et similia apud Aratum invenias, iis nominibus exceptis, quae, ut Δράκων, nisi migrata hac lege, versum intrare nequeunt. Dixerim itaque, poetam his ipsis verbis, ὅγ᾽ ἐξόπιθεν τετραμμένος, Ingeniculum indicare, cum notissimus sit hic signi istius ad horizontem et vicina omnia relatus situs: vid. 668. Fateor tamen, ita me in hac poetae oratione haerere, ut suspicer inter versus 574. 575. alium intercidisse. 581. γρ. ἤδη κατιόντα

Κεῖναί οἱ καὶ νύκτες ἐπ' ὀψὲ δύοντι λέγονται.
Ὡς οἱ μὲν δύνουσιν, ὁ δ' ἀντίος, οὐδὲν ἀεικὴς,
Ἀλλ' εὖ μὲν ζώνῃ, εὖ δ' ἀμφοτέροισι φαεινὸς
Ὤμοις Ὠρίων, ξίφεός γε μὲν ἶφι πεποιθὼς,
Πάντα φέρων Ποταμὸν, κέραος παρατείνεται ἄλλου.
Ἐρχομένῳ δὲ ΛΕΟΝΤΙ τὰ μὲν κατὰ πάντα φέρονται
Καρκίνῳ ὅσσ' ἐδύοντο· καὶ Αἰετός. αὐτὰρ ὅγε γνὺξ
Ἥμενος ἄλλα μὲν ἤδη, ἀτὰρ γόνυ καὶ πόδα λαιὸν
Οὔπω κυμαίνοντος ὑποστρέφει ὠκεανοῖο.
Ἀντέλλει δ' Ὕδρης κεφαλὴ, χαροπός τε Λαγωὸς,
Καὶ Προκύων, πρότεροί τε πόδες Κυνὸς αἰθομένοιο.
Οὐ μέν θὴν ὀλίγους γαίης ὑπὸ νείατα βάλλει
ΠΑΡΘΕΝΟΣ ἀντέλλουσα. Λύρη τότε Κυλληναίη
Καὶ Δελφὶς δύνουσι, καὶ εὐποίητος Ὀϊστός.
Σὺν τοῖς Ὄρνιθος πρῶτα πτερὰ μέσφα παρ' αὐτὴν
Οὐρὴν, καὶ Ποταμοῖο παρηορίαι σκιόωνται.
Δύνει δ' Ἱππείη κεφαλὴ, δύνει δὲ καὶ αὐχήν.
Ἀντέλλει δ' Ὕδρη μὲν ἐπιπλέον ἄχρι παρ' αὐτὸν
Κρητῆρα. φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους,
Ἕλκων ἐξόπιθεν πρύμνην πολυτειρέος Ἀργοῦς.
Ἡ δὲ θέει γαίης ἴσον διχόωσα κατ' αὐτὸν,
Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται.
Οὐδ' ἂν ἐπερχόμεναι ΧΗΛΑΙ, καὶ λεπτὰ φάουσαι,
Ἄφρασται παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης
Ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.
Ἀργὼ δ' αὖ μάλα πᾶσα μετήορος ἔσσεται ἤδη·

---

586. Κεῖναί οἱ. Sic Vat. 2. pronomine jungendo cum participio. Vulgo τοι.
590. γρ. Ἀρχομένῳ: cf. ad 645. 604. Vulgo πρύμναν: vera forma est in Vat. 2. et in mendo Par. C πρύμνης. 609. βεβολημένος omnes: vid. ad 492. 610. Perperam vulgo δ' οὐ. Ad veritatem, quam praebent interpretes

Ἀλλ' Ὕδρη, κέχυται γὰρ ἐν οὐρανῷ ἤλιθα πολλή,
Οὐρῆς ἂν δεύοιτο. μούνην δ' ἐπὶ Χηλαὶ ἄγουσιν
Δεξιτερὴν κνήμην, αὐτῆς ἐπιγουνίδος ἄχρις,
Αἰεὶ γνύξ, αἰεὶ δὲ Λύρῃ παραπεπτηῶτος,
Ὅντινα τοῦτον ἄϊστον ὑπουρανίων εἰδώλων
Ἀμφότερον δύνοντα καὶ ἐξ ἑτέρης ἀνιόντα
Πολλάκις αὐτονυχὶ θηεύμεθα. τοῦ μὲν ἄρ' οἴη
Κνήμη σὺν Χηλῇσι φαείνεται ἀμφοτέρῃσιν·
Αὐτὸς δ' ἐς κεφαλὴν ἔτι που τετραμμένος ἄλλη
Σκορπίον ἀντέλλοντα μένει καὶ ῥύτορα Τόξου·
Οἵ γάρ μιν φορέουσιν, ὁ μὲν μέσον ἄλλα τε πάντα,
Χεῖρα δέ οἱ σκαιὴν κεφαλῇ ἅμα Τόξον ἀγινεῖ.
Ἀλλ' ὁ μὲν ὣς τρίχα πάντα καταμελεϊστὶ φορεῖται·
Ἥμισυ δὲ Στεφάνοιο καὶ αὐτὴν ἔσχατον οὐρὴν
Κενταύρου φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί.
Τῆμος ἀποιχομένην κεφαλὴν μεταδύεται Ἵππος,
Καὶ προτέρου Ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή.
Δύνει δ' Ἀνδρομέδης κεφαλή· τὸ δέ οἱ μέγα δεῖμα
Κήτεος ἠερόεις ἐπάγει νότος· ἀντία δ' αὐτὸς
Κηφεὺς ἐκ Βορέω μεγάλῃ ἀνὰ χειρὶ κελεύει.

---

latini, correxit Vossius. Cf. ad 1044. Tum idem ἔσσυται. Vat. 2. et Hipp. ἵσταται. 612. γρ. μόνον: et post hunc versum vulgo inseritur iste (613.)

Δεινὸν ἐφεστηῶτ' Ὀφιούχεα· τοῦ μὲν ἔπειτα

quem tamen non habet Par. C cum IV aliis Bekkeri codd., neque agnoscunt Hipparchus neque scholiastes neque latini interpretes. 616. Vat. 2. et IV alii ἐπουρανίων 618. αὐτονυχὶ Par. C, Ach. Tat. Vulgo — εὶ 624. Non obloquimur Vossio apud Homerum, qui Il. ω, 409. habet μελεϊστί, etiam Od. ι, 291. σ, 339. διὰ μελεϊστί scribenti, quoniam recte ibi junxeris δια-ταμεῖν. Verum hoc nostro loco compositum κατα-φορεῖται sensui adversaretur. Finxit itaque sibi, quod licebat, Aratus, si non in usu invenit, voces καταμελεΐζειν, καταμελεϊστί. Dictionem autem, ὁ δεῖνα τρίχα πάντα καταμελεϊστὶ φορεῖται (*advehitur*), neque defendam magnopere, neque condemnem: certe τρία πάντα cum Vossio reponens, non satisfeceris. 631. Multi ἐν Βορέω: sed κελεύει ἐκ Βορέω praestat. Tum

Καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον ἄχρι παρ᾽ αὐτὴν
Δύνει, ἀτὰρ Κηφεὺς κεφαλῇ καὶ χειρὶ καὶ ὤμῳ.
Καμπαὶ δ᾽ ἂν Ποταμοῖο καὶ αὐτίκ᾽ ἐπερχομένοιο
ΣΚΟΡΠΙΟΥ ἐμπίπτοιεν ἐϋῤῥόου ὠκεανοῖο·
Ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν Ὠρίωνα.
Ἄρτεμις ἱλήκοι· προτέρων λόγος· οἵ μιν ἔφαντο
Ἑλκῆσαι πέπλοιο, Χίῳ ὅτε Ͽηρία πάντα
Καρτερὸς Ὠρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ,
Θήρης ἀρνύμενος κείνῳ χάριν Οἰνοπίωνι.
Ἡ δέ οἱ ἐξαυτῆς ἐπετείλατο Ͽηρίον ἄλλο,
Νήσου ἀναῤῥήξασα μέσας ἑκάτερθε κολώνας,
Σκορπίον, ὅς ῥά μιν οὖτα, καὶ ἔκτανε πολλὸν ἐόντα
Πλειότερος προφανεὶς, ἐπεὶ Ἄρτεμιν ἤκαχεν αὐτήν.
Τοὔνεκα δὴ καί φασι, περαιόθεν ἐρχομένοιο
Σκορπίου, Ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν.
Οὐδ᾽ ἔμεν᾽, Ἀνδρομέδης καὶ Κήτεος ὅσσ᾽ ἐλέλειπτο,
Κείνου ἔτ᾽ ἀντέλλοντος· ἀπευθέες ἀλλ᾽ ἄρα καὶ τοὶ
Πανσυδίῃ φεύγουσιν. ὁ δὲ ζώνῃ τότε Κηφεὺς
Γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα
Βάπτων ὠκεανοῖο, τὰ δ᾽ οὐ θέμις. ἀλλὰ τάγ᾽ αὐταὶ
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν.

---

vulgo κελεύων. Quod junctura poscit, κελεύει, dant Par. C et Cas.

638. Voss. Εἰλκύσθαι: ipse olim tentabam Ἡλκῆσθαι: sed nunc video, accusativum Ὠρίωνα, quem verbum ἑλκῆσαι requirit, cessisse nominativo, qui verbo ἐπέκοπτε adhaeret. 641. ἐξαυτῆς *confestim*. Vid. Brunck. ad Apoll. 4, 984. Tum pro vulg. ἐπετείνατο Vossius, apte comparans Apollon. 3, 264., e scholio adoptavit ἐπετείλατο, quod confirmatur mendosa Vat. 2. scriptura ἐπεστείλατο. 645. Sic Vind. et Par. C G: olim ἀρχομένοιο: cf. ad 590. 647. Vulgo Οὐδὲ μὲν et versu sq. Κεῖνου δ᾽ ἀντέλλοντος ἀπευθέος· ἀλλ᾽ ἄρα —, sine sensu et commissura. Pro δ᾽ Vrat. et Par. G dederunt ἔτ᾽: cetera res ipsa dictavit. „Illo adhuc surgente nil manebat eorum" cet. Tale imperfectum rei praesenti, vel quae solet fieri, junctum habes in hoc ipso verbo Hymn. Apoll. 5. Ὄντε (Apollinem) θεοὶ — τρομέουσιν ἰόντα, Καί ῥά τ᾽ ἀναΐσσουσι — Πάντες

Ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλοιο
Δειλὴ Κασσιέπεια. τὰ δ' οὐκέτι οἱ κατὰ κόσμον
Φαίνεται ἐκ δίφροιο, πόδες καὶ γούναθ' ὕπερθεν,
Ἀλλ' ἥγ' ἐς κεφαλὴν ἴση δύετ' ἀρνευτῆρι
Μειρομένη γονάτων· ἐπεὶ οὐκ ἄρ' ἔμελλεν ἐκείνη
Δωρίδι καὶ Πανόπῃ μεγάλων ἄτερ ἰσώσασθαι.
Ἡ μὲν ἄρ' εἰς ἑτέρην φέρεται· τὰ δὲ νειόθεν ἄλλα
Οὐρανὸς ἀντιφέρει· Στεφάνοιό τε δεύτερα κύκλα,
Ὕδρης τ' ἐσχατιήν· φορέει τ' ἔπι Κενταύροιο
Σῶμά τε καὶ κεφαλήν, καὶ Θηρίον ὅ ῥ' ἐνὶ χειρὶ
Δεξιτερῇ Κένταυρος ἔχει. τοὶ δ' αὖθι μένουσιν
Τόξον ἐπερχόμενον πρότεροι πόδες ἱπποτάφηρος.
Τόξῳ καὶ σπείρῃ Ὄφιος καὶ σῶμ' Ὀφιούχου
Ἀντέλλει ἐπιόντι· καρήατα δ' αὐτὸς ἀγινεῖ
Σκορπίος ἀντέλλων, ἀνάγει δ' αὐτὰς Ὀφιούχου
Χεῖρας, καὶ προτέρην Ὄφιος πολυτειρέα ἀγήν.
Τοῦ γε μὲν Ἐγγόνασιν· περὶ γὰρ τετραμμένος αἰεὶ
Ἀντέλλει· τότε μὲν περάτης ἐξέρχεται ἄλλα,

ἀφ' ἑδράων—. Λητὼ δ' οἴη μίμνε—. 655. γρ. πόδες καὶ χεῖρες 659. νειόθεν ἄλλα Voss. e var. lect. in Barb: cui accodit nunc Par. C. Olim νειόθι μᾶλλον.

661. γρ. φορέοι 664. Sic, pro vulg. ἱππότα φηρός, Mosc. ὑφ' ἕν: quod reposui ne in re incerta codices desererem. Voss. ἱπποτόφηρος, magis sane ex analogia. Equidem, cum litteris αφ in Mosc. superscriptum sit ουθ, Par. A C autem pro varia lectione habeant ἱππότα θηρός, dudum conjeceram scribendum ἱπποτόθηρος.

668. Vulgo πολυτειρέος αὐγήν. Schneider, quem v. in Lex. v. ἀγή, veram assecutus est substantivi lectionem ἀγὴν, quae nunc inventa est in Laur. et ad quam spectat explic. καμπὴν in schol. et apud Leontium (Buhl. p. 259.). Sine mendo eandem vocem exhibet infra quoque 729. unus codex; et eodem quo hic lapsu alius infra 687. περιαυγήν. Hic quidem vera lectio se prodiderat etiam hiatu in scriptura codicis Vind. πολυτειρέα αὐγήν: neque legitimus iste ante vocem ἀγὴν hiatus Arato eripi debet scribendo πολυτειρέος ἀγὴν. Quippe non totus Serpens, sed hic primus ejus flexus, prae aliis signis illustratur luminibus contiguis.

Γυῖά τε καὶ ζώνη καὶ στήθεα πάντα καὶ ὦμος
Δεξιτερῇ σὺν χειρί· κάρη δ᾽ ἑτέρης μετὰ χειρὸς
Τόξῳ ἀνέρχονται καὶ ΤΟΞΟΤΗΙ ἀντέλλοντι.
Σὺν τοῖς Ἑρμαίη τε Λύρη, καὶ στήθεος ἄχρις
Κηφεὺς ἠῴου παρελαύνεται ὠκεανοῖο.
Ἦμος καὶ μεγάλοιο Κυνὸς πᾶσαι ἀμαρυγαὶ
Δύνουσιν, καὶ πάντα κατέρχεται Ὠρίωνος,
Πάντα τε μὴν ἀτέλεστα διωκομένοιο Λαγωοῦ.
Ἀλλ᾽ οὐχ Ἡνιόχῳ Ἔριφοι, οὐδ᾽ Ὠλενίη Αἶξ
Εὐθὺς ἀπέρχονται· τὰ δέ οἱ μεγάλην ἀνὰ χεῖρα
Λάμπονται, καί οἱ μελέων διακέκριται ἄλλων,
Κινῆσαι χειμῶνας ὅτ᾽ ἠελίῳ συνίωσιν.
Ἀλλὰ τὰ μὲν, κεφαλήν τε καὶ ἄλλην χεῖρα καὶ ἰξὺν,
ΑΙΓΟΚΕΡΩΣ ἀνιὼν κατάγει· τὰ δὲ νείατα πάντα
Αὐτῷ Τοξευτῆρι κατέρχεται. οὐδέ τι Περσεὺς,
Οὐδέ τι ἄκρα κόρυμβα μένει πολυτείρεος Ἀργοῦς.
Ἀλλ᾽ ἤτοι Περσεὺς μὲν ἄτερ γουνός τε ποδός τε
Δεξιτεροῦ δύεται, Πρύμνης δ᾽ ὅσον ἐς περιαγήν·
Αὐτὴ δ᾽ Αἰγοκερῆϊ κατέρχεται ἀντέλλοντι·
Ἦμος καὶ Προκύων δύεται, τὰ δ᾽ ἀνέρχεται ἄλλα,
Ὄρνις τ᾽, Αἰητός τε, τά τε πτερόεντος Ὀϊστοῦ
Τείρεα, καὶ νοτίοιο Θυτηρίου ἱερὸς ἕδρη.
Ἵππος δ᾽ ὙΔΡΟΧΟΟΙΟ νέον περιτελλομένοιο

671. ὦμος. Sic longe plurimi. Vulgo ὦμοι 678. πάντα τε. Vulgo γε: sed formulae γὲ μήν nullus hic locus. Reposui quod series orationis flagitabat. 686. Vossius bis οὐδ᾽ ἔτι: quod secundo loco arguitur hiatu; qui legitimus est in voce τί 691. Laur. Ὄρνις τ᾽ ἠδ᾽ αἰετὸς

693. Pro νέον Hipparohus in omnibus exemplis inveniri narrat μέσον, idque explicat de corpore quod dimidiatum oriatur; Attalum autem, qui hoc non intellexerit, ait correxisse νέον. Quae mihi non ita vera videntur, ut transmissam nobis scripturam ideo mutem. Nam μέσον adverbialiter, de eo qui μέσος περιτέλλεται, non aeque dici poterat, ac νέον de eo qui nuper; apte autem νέον περιτέλλε-

Ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται· ἀντία δ' Ἵππου
Ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἀστερίη Νύξ.
Ἀλλ' οὔ οἱ δύναται κεφαλὴν, οὐδ' εὐρέας ὤμους
Αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ' αἴθοπος Ὕδρης
Αὐχενίην κατάγει σπείρην καὶ πάντα μέτωπα.
Ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει· ἀλλ' ἄρα καὶ τὴν
Αὐτῷ Κενταύρῳ, ὁπότ' ΙΧΘΥΕΣ ἀντέλλωσιν,
Ἀθρόον ἐμφέρεται. Ὁ δ' ἐπ' Ἰχθύσιν ἔρχεται Ἰχθὺς
Αὐτῷ κυανέῳ ὑποκείμενος Αἰγοκερῆϊ.
Οὐ μὲν ἅδην, ὀλίγον δὲ δυωδεκάδα μένει ἄλλην.
Οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι
Ἀνδρομέδης δίχα πάντα, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω
Τείνεται, ὠκεανοῖο νέον ὁπότε προγένωνται
Ἰχθύες ἀμφότεροι. τὰ μὲν οἱ κατὰ δεξία χειρὸς
Αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
ΚΡΙΟΣ ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
Ἑσπερόθεν κεν ἴδοιο Θυτήριον· αὐτὰρ ἐν ἄλλῃ
Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους·
Αὐτὴ δὲ ζώνη, καὶ κ' ἀμφήριστα πέλοιτο,
Ἢ Κριῷ λήγοντι φαείνεται, ἢ ἐπὶ ΤΑΥΡΩΙ,
Σὺν τῷ πανσυδίην ἀνελίσσεται. Οὐδ' ὅγε Ταύρου
Λείπεται ἀντέλλοντος, ἐπεὶ μάλα οἱ συναρηρὼς
Ἡνίοχος φέρεται· μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ
Ἀθρόος ἀντέλλει, Δίδυμοι δέ μιν οὖλον ἄγουσιν.
Ἀλλ' Ἔριφοι, λαιοῦ τε θέναρ ποδὸς, Αἰγὶ σὺν αὐτῇ

ται, de eo qui circumferri incipit, h. e. exoritur. 695. ἀστερίη longe plurimi. Laur. οὐρανίη, Ach. Tat. ἑσπερίη 696. γρ. ἠδ' εὐρέας 703. γρ. δυωδεκάδ' ἀμμένει 707. Si certum esset, iambum μὲν οἱ ab Arato non admitti, non male scripseris μὲν οἱ (οἱ, pisces), quae est altera Hermanni ratio (post Orph. p. 782.). Sed cf. versus 50. et 485., quibus veram medelam idem non attulit.

Ταύρῳ συμφορέονται· ὅτε λοφιή τε καὶ οὐρὴ
Κήτεος αἰθερίοιο περαιόθεν ἀντέλλωσιν.
Δύνει δ' Ἀρκτοφύλαξ ἤδη πρώτη τότε μοίρῃ
Τάων, αἵ πίσυρές μιν ἄτερ χειρὸς κατάγουσιν
Λαιῆς· ἡ δ' αὐτῷ μεγάλῃ ὑποτέλλεται Ἄρκτῳ.
Ἀμφότεροι δὲ πόδες καταδυομένοιο Ὀφιούχου,
Μέσφ' αὐτῶν γονάτων, ΔΙΔΥΜΟΙΣ ἔπι σῆμα τετύχθω
Ἐξ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι Κήτεος οὐδὲν
Ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.
Ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν
Ἀγὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,
Αὐτὸν ἐπ' Ὠρίωνα μένων· εἴ οἵ ποθι σῆμα
Ἠ νυκτὸς μέτρων ἠὲ πλόου ἀγγείλειεν.
Πάντη γάρ τάγε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσιν.

ΔΙΟΣΗΜΕΙΑ.

Οὐχ ὁράας; ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
Ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει
Μηνός· ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
Ὅσσον ἐπισκιάειν, ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·

---

723. Magnus codicum consensus est in αὐτοῦ et ὑποτέλλεται et μεγάλη ἄρκτῳ; sed γρ. tamen αὐτῷ, et ἐπιτέλλεται, et μεγάλης ἄρκτου, et μεγάλη ἄρκτος. Ego Mosc. lectionem repraesentavi, quae commodum sensum dare visa est; αὐτῷ ad ipsum Booten relato. Contra αὐτοῦ, h. e. αὐτόθι, circuitui satis magno aptum non est. Verba autem, ὑποτέλλεται (h. e. πλησίον ἐςί, Schol.) ἄρκτῳ, quod verum est loquuntur.

729. Vulg. Καμπὴν. Ἀγὴν, licet ab uno hic Par. E oblatum, cur repudiarem non erat. Vid. ad 668. 731. μέτρων Par. D et var. lect. A. Vulgo μετρόν γ': codd. tamen plurimi γ' omittunt. γρ. πλόον

736. Voss. ὑποσκιάειν, collata explicatione Schol. ἀμυδρὰν σκιὰν, et Avieni tenuem umbram: verum hoc est in voce ὅσσον. Tum fort. ἄγουσα, ut iungatur, ἐπάγουσα τέταρτον ἦμαρ, ὀκτὼ δὲ ἤματα —, διχόμηνα δὲ —. Conf. Schol. Ὀκτὼ δὲ ἡμέρας ἄγει —.

Ταύρῳ συμφερόμενοι· ὅτε λοφιή τε καὶ αὐχὴν
Κήτεος αἰθερίου ποταμόθεν ἀντέλλωνται.
Δύνει δ' Ἀρκτοφύλαξ ἤδη πρώτῃ τότε μοίρῃ
Τάων, αἵ πίσυρές μιν ἄτερ χειρὸς κατάγουσι
Λαιῆς· ἡ δ' αὐτοῦ μεγάλῃ ὑποτέλλεται Ἄρκτῳ.
Ἀμφότεροι δὲ πόδες καταδυόμενοι Ὀφιούχου,
Μέσφ' αὐτῶν γονάτων, ΔΙΔΥΜΟΙΣ ἔπι σῆμα τετύχθαι
Ἐξ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι Κήτεος οὐδὲν
Ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.
Ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν
Ἀγκῶν' ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,
Αὐτὸν ἐπ' Ὠρίωνα μένων, εἴ οἱ ποθι σῆμα
Ἢ νυκτὸς μέτρων γε πλόου ἀγγείλειεν.
Πάντῃ γὰρ τάγε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσιν.

ΔΙΟΣΗΜΕΙΑ.

Οὐχ ὁράᾳς; ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
Ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει
Μηνός· ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
Ὅσσον ἐπισκιάειν, ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·

---

723. Magnus codicum consensus est in αὐτοῦ et ὑποτέλλεται et μεγάλῃ Ἄρκτῳ; sed γρ. tamen αὐτῷ, et ἐπιτέλλεται, et μεγάλης Ἄρκτου, et μεγάλην Ἄρκτον. Ego Voss. lectionem [illegible], quae commodum sensum dare visa est; αὐτῷ ad [illegible] Bootem volens. Contra αὐτοῦ, h. e. αὐτόθι, circuitui satis magno opus non est. Verba autem, ὑποτέλλεται (h. e. πλησίον ἐστί, Schol.) Ἄρκτῳ, quod [illegible] ut loquuntur.

729. Vulg. Καὶ κεῖνον. Ἀγκῶν, licet ab uno hic Par. E oblatum, cur repudiarem non erat. Vid. ad 668. 731. μέτρων Par. D et ven. lect. A. Vulgo μετρόν γ'; edd. tamen plurimi γ' omittunt. γρ. πλόον

736. Vom. ὑποσκιάειν, collata explicatione Schol. ἀμυδρὰν ποιεῖν, et Avieni [illegible] umbram: verum hoc est in voce ὅσσον. Dum fere. ἄγουσα, ut jungatur, ἐπάγουσα τέταρτον ἦμαρ, [illegible] —, [illegible] —. Conf. Schol. Ὅταν δὲ ἡμέρας ἄγῃ —.

Ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται· ἀντία δ' Ἵππου
Ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἀστερίη Νύξ.
Ἀλλ' οὔ οἱ δύναται κεφαλὴν, οὐδ' εὐρέας ὤμους
Αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ' αἴθοπος Ὕδρης
Αὐχενίην κατάγει σπείρην καὶ πάντα μέτωπα.
Ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει· ἀλλ' ἄρα καὶ τὴν
Αὐτῷ Κενταύρῳ, ὁπότ' ΙΧΘΥΕΣ ἀντέλλωσιν,
Ἀθρόον ἐμφέρεται. Ὁ δ' ἐπ' Ἰχθύσιν ἔρχεται Ἰχθὺς
Αὐτῷ κυανέῳ ὑποκείμενος Αἰγοκερῆϊ.
Οὐ μὲν ἄδην, ὀλίγον δὲ δυωδεκάδα μένει ἄλλην.
Οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι
Ἀνδρομέδης δίχα πάντα, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω
Τείνεται, ὠκεανοῖο νέον ὁπότε προγένωνται
Ἰχθύες ἀμφότεροι. τὰ μέν οἱ κατὰ δεξιὰ χειρὸς
Αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
ΚΡΙΟΣ ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
Ἑσπερόθεν κεν ἴδοιο Θυτήριον· αὐτὰρ ἐν ἄλλῃ
Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους·
Αὐτὴ δὲ ζώνη, καὶ κ' ἀμφήριστα πέλοιτο,
Ἢ Κριῷ λήγοντι φαείνεται, ἢ ἐπὶ ΤΑΥΡΩΙ,
Σὺν τῷ πανσυδίην ἀνελίσσεται. Οὐδ' ὅγε Ταύρου
Λείπεται ἀντέλλοντος, ἐπεὶ μάλα οἱ συναρηρὼς
Ἡνίοχος φέρεται· μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ
Ἀθρόος ἀντέλλει, Δίδυμοι δέ μιν οὖλον ἄγουσιν.
Ἀλλ' Ἔριφοι, λαιοῦ τε θέναρ ποδὸς, Αἰγὶ σὺν αὐτῇ

ται, de eo qui circumferri incipit, h. e. exoritur. 695. ἀστερίη longe plurimi. Laur. οὐρανίη, Ach. Tat. ἑσπερίη 696. γρ. ἠδ' εὐρέας 703. γρ. δυωδεκάδ' ἀμμένει 707. Si certum esset, iambum μὲν οἱ ab Arato non admitti, non male scripseris μὲν οἱ (οἱ, pisces), quae est altera Hermanni ratio (post Orph. p. 782.). Sed cf. versus 50. et 485., quibus veram medelam idem non attulit.

Ταύρῳ συμφορέονται· ὅτε λοφιή τε καὶ οὐρὴ
Κήτεος αἰθερίοιο περαιόθεν ἀντέλλωσιν.
Δύνει δ' Ἀρκτοφύλαξ ἤδη πρώτῃ τότε μοίρῃ
Τάων, αἵ πίσυρές μιν ἄτερ χειρὸς κατάγουσιν
Λαιῆς· ἡ δ' αὐτῷ μεγάλῃ ὑποτέλλεται Ἄρκτῳ.
Ἀμφότεροι δὲ πόδες καταδυομένου Ὀφιούχου,
Μέσφ' αὐτῶν γονάτων, ΔΙΔΥΜΟΙΣ ἔπι σῆμα τετύχθαι
Ἐξ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι Κήτεος οὐδὲν
Ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.
Ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν
Ἀγὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,
Αὐτὸν ἐπ' Ὠρίωνα μένων· εἴ οἵ ποθι σῆμα
Ἢ νυκτὸς μέτρων ἢε πλόου ἀγγείλειεν.
Πάντῃ γάρ τάγε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσιν.

ΔΙΟΣΗΜΕΙΑ.

Οὐχ ὁράας; ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
Ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει
Μηνός· ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
Ὅσσον ἐπισκιάειν, ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·

---

723. Magnus codicum consensus est in αὐτοῦ et ὑποτέλλεται et μεγάλη ἄρκτῳ; sed γρ. tamen αὐτῷ, et ἐπιτέλλεται, et μεγάλης ἄρκτου, et μεγάλη ἄρκτος. Ego Mosc. lectionem repraesentavi, quae commodum sensum dare visa est; αὐτῷ ad ipsum Booten relato. Contra αὐτοῦ, h. e. αὐτόθι, circuitui satis magno aptum non est. Verba autem, ὑποτέλλεται (h. e. πλησίον ἐςί, Schol.) ἄρκτῳ, quod verum est loquuntur.

729. Vulg. Καμπὴν. Ἀγὴν, licet ab uno hic Par. E oblatum, cur repudiarem non erat. Vid. ad 668. 731. μέτρων Par. D et var. lect. A. Vulgo μετρόν γ': codd. tamen plurimi γ' omittunt. γρ. πλόου

736. Voss. ὑποσκιάειν, collata explicatione Schol. ἀμυδρὰν σκιάν, et Avieni *tenuem umbram*: verum hoc est in voce ὅσσον. Tum *fort.* ἄγουσα, ut jungatur, ἐπάγουσα τέταρτον ἦμαρ, ὀκτὼ δὲ ἤματα —, δεχάμηνα δὲ —. Conf. Schol. Ὀκτὼ δὲ ἡμέρας ἄγει —.

Ὀκτὼ δ' ἐν διχάσει· διχόμηνα δὲ παντὶ προσώπῳ.
Αἰεὶ δ' ἄλλοθεν ἄλλα παρακλίνουσα μέτωπα
Εἴρει, ὁποσταίη μηνὸς περιτέλλεται ἠώς.
Ἄκρα γε μὲν νυκτῶν κεῖναι δυοκαίδεκα μοῖραι
Ἄρκιαι ἐξειπεῖν. τὰ δέ που μέγαν εἰς ἐνιαυτὸν,
Ὥρη μέν τ' ἀρόσαι νειοὺς, ὥρη δὲ φυτεῦσαι,
Ἐκ Διὸς ἤδη πάντα πεφασμένα πάντοθι κεῖται.
Καὶ μέν τις καὶ νηῒ πολυκλύστου χειμῶνος
Ἐφράσατ', ἢ δεινοῦ μεμνημένος Ἀρκτούροιο,
Ἠέ τεων ἄλλων, οἵ τ' ὠκεανοῦ ἀρύονται
Ἀστέρες ἀμφιλύκης, οἵ τε πρώτης ἐπὶ νυκτός...
Ἤτοι γὰρ τοὺς πάντας ἀμείβεται εἰς ἐνιαυτὸν
Ἠέλιος, μέγαν ὄγμον ἐλαύνων, ἄλλοτε δ' ἄλλῳ
Ἐμπελάσει, τοτὲ μέν τ' ἀνιὼν τοτὲ δ' αὐτίκα δύνων·
Ἄλλος δ' ἀλλοίην ἀστὴρ ἐπιδέρκεται ἠῶ.
Γινώσκοις τάδε καὶ σύ· τὰ γὰρ συναείδεται ἤδη
Ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο,
Ὅσσα τ' ἀπὸ ζώνης εἰς ἔσχατον Ὠρίωνα
Νὺξ ἐπιδινεῖται, Κύνα τε θρασὺν Ὠρίωνος,
Οἵ τε Ποσειδάωνος ὁρώμενοι ἢ Διὸς αὐτοῦ

---

740. μὲν Voss., relatum ad vers. sq. Vulgo μήν. V. Exc. I, 2. 741. *Fort.* δέ τοι (tibi) ut 773. 776. (ubi itidem που in v. l.) 747. ἐπὶ Mosc. Vulgo ἔτι 750. Codd. ἐμπλήσει, ἐμπλήσσει. Vulgatum inde ab Ed. Bas. 1534. retinui, cum ratione non careat futurum, ipsum verbum autem agnoscatur etiam a scholiaste ad v. 752. (ἄλλοτε ἄλλῳ ἐμπελάζων).

752. γινώσκοις Par. G. Vulgo γινώσκεις: sed cf. 758. Tum schol. uno loco: φησὶν, ὅτι καὶ αὐτὸς γινώσκεις αὐτά· πάλαι γὰρ ἀείδεται, καὶ ᾄδεται, καὶ φανερὰ — γέγονεν κ. τ. λ., unde suspiceris haec ipsa, πάλαι γὰρ ἀείδεται, verbi esse Arati. Sed cum in vita Arati (Buhl. II. p. 436.) et in codd. Ach. Tatii (v. Aldi Manut. Quaesit. I, 6.) legatur συναγείρεται, hanc ego veram esse lectionem puto. Etenim ab hoc verbo pendent non solum haec Ἐννεακ. κύκλα, sed haec quoque, Ὅσσα τε — Νὺξ ἐπιδινεῖται, et haec, Οἵ τε (h. e. ὅσα τε οἱ) Ποσειδῶνος — σημαίνουσιν. Praesens συναγείρεται de eo quod identidem fit pa-

Ἀςέρες ἀνθρώποισι τετυγμένα σημαίνουσιν.
Τῷ κείνων πεπόνησο. μέλοι δέ τοι, εἴ ποτε νηΐ
Πιςεύεις, εὑρεῖν ὅσα που κεχρημένα κεῖται
Σήματα χειμερίοις ἀνέμοις ἢ λαίλαπι πόντου.
Μόχθος μέν τ' ὀλίγος, τὸ δὲ μυρίον αὐτίκ' ὄνειαρ
Γίνετ' ἐπιφροσύνης αἰεὶ πεφυλαγμένῳ ἀνδρί.
Αὐτὸς μὲν τὰ πρῶτα σαώτερος, εὖ δὲ καὶ ἄλλον
Παρειπὼν ὤνησεν, ὅτ' ἐγγύθεν ὤρορε χειμών.
Πολλάκι γὰρ καί τίς τε γαληναίῃ ὑπὸ νυκτὶ
Νῆα περιςέλλει πεφοβημένος ἦρι θαλάσσης·
Ἄλλοτε δὲ τρίτον ἦμαρ ἐπιτρέχει, ἄλλοτε πέμπτον·
Ἄλλοτε δ' ἀπρόφατον κακὸν ἵκετο· πάντα γὰρ οὔπω
Ἐκ Διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ' ἔτι πολλὰ
Κέκρυπται, τῶν αἴκ' ἐθέλῃ καὶ ἐσαυτίκα δώσει
Ζεύς· ὁ γὰρ οὖν γενεὴν ἀνδρῶν ἀναφανδὸν ὀφέλλει,
Πάντοθεν εἰδόμενος, πάντῃ δ' ὅγε σήματα φαίνων.
Ἄλλα δέ τοι ἐρέει ἤπου διχόωσα σελήνη
Πλήθουσ' ἀμφοτέρωθεν ἢ αὐτίκα πεπληθυῖα·
Ἄλλα δ' ἀνερχόμενος, τοτὲ δ' ἄκρῃ νυκτὶ κελεύων
Ἠέλιος· τὰ δέ τοι καὶ ἀπ' ἄλλων ἔσσεται ἄλλα
Σήματα καὶ περὶ νυκτὶ καὶ ἤματι ποιήσασθαι.
Σκέπτεο δὲ πρώτην κεράων ἑκάτερθε σελήνην.
Ἄλλοτε γάρ τ' ἄλλῃ μιν ἐπιγράφει ἕσπερος αἴγλη,
Ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην

---

rapegmatis publicandis. 759. Edd. quidam cum Vrat. et Schol. πιςεύῃς οὐρεῖν, pro οὐρίζειν, sine exemplo. κεχρημένα, *praedicta*, neglecto σ, forma ionica 763. ἄλλον cum edd. solus Vat. 2.; ceteri ἄλλῳ — 774. Voss. πλήθυος ἀμφοτέρωθεν. Ego ejusmodi potius significationis genitivum desidero, cujusmodi sunt εἴδεος, φάεος, φέγγεος: Avien. *seu lucis utrinque caesa facem.*

778. πρώτην Voss. Vulgo πρῶτον, Stob. πρώτη 780. 781. Vind. Laur. ἀεξομένης, ut jungatur τρίτῃ ἀεξομένης. Voss. κεράεσσι σελήνης — ἀεξομέ-

Εὐθὺς ἀεξομένην, αἱ μὲν τρίτη, αἱ δὲ τετάρτῃ·
Τάων καὶ περὶ μηνὸς ἐφεστἀότος κε πύθοιο.
Λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα
Εὔδιός κ' εἴη· λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς
Πνευματίη· παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις
Τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα
Ἠὲ νότῳ ἀμβλύνετ', ἢ ὕδατος ἐγγὺς ἐόντος.
Εἰ δέ κ' ἀπ' ἀμφοτέρων κεράων, τρίτον ἦμαρ ἄγουσα,
Μήτ' ἐπινευστάζῃ, μήθ' ὑπτιόωσα φαείνῃ,
Ἀλλ' ὀρθὰς ἑκάτερθε περιγνάμπτουσα κεραίας·
Ἑσπέριοί κ' ἄνεμοι κείνην μετὰ νύκτα φέροιντο.
Εἰ δ' αὕτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἀγινεῖ,
Ἦ τ' ἂν χειμῶνος συναγειρομένοιο διδάσκει.
Εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύῃ,
Δειδέχθαι βορέω· ὅτε δ' ὑπτιάῃσι, νότοιο.
Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσῃ
Πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη·
Μείζονι δ' ἂν χειμῶνι πυρώτερα φοινίσσοιτο.
Σκέπτεο δ' ἐς πληθύν τε καὶ ἀμφότερον διχόωσαν
Ἠμὲν ἀεξομένην, ἠδ' ἐς κέρας αὖθις ἰοῦσαν·
Καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
Πάντῃ γὰρ καθαρῇ κε μάλ' εὔδια τεκμήραιο·
Πάντα δ' ἐρευθομένῃ δοκέειν ἀνέμοιο κελεύθους·
Ἄλλοθι δ' ἄλλο μελαινομένῃ δοκέειν ὑετοῖο.
Σήματα δ' οὐτᾶρ πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται·

νης. 737. Sic ed. Oxon. in marg.: vulgo Ἢ — ἀμβλύνεται 788. γρ. ἐπ' 790. Vulgo ὀρθαὶ — περιγνάμπτωσι κεραῖαι: correxit Voss. ex librorum indiciis: quibus nunc accedit Par. A περιγνάμπτουσα dans. 792. 793. Sic libri plurimi: vulgo ἀγινοῖ — διδάσκοι 796. γρ. ὅλην 797. *Fort.* τόγε χείμερον 798. Vind. et quattuor e Bekk. δ' αὖ: sed vid. 816. 879.
805. Vulgo οὔτ' ἄρ. Scripsi οὐτᾶρ i. e. οὔτοι ἄρα, *non tamen ideo.*

Ἀλλ᾽ ὅσα μὲν τριτάτῃ τε τεταρταίῃ τε πέλονται
Μέσφα διχαιομένης, διχάδος γε μὲν ἄχρις ἐπ᾽ αὐτὴν
Σημαίνει διχόμηνον, ἀτὰρ πάλιν ἐκ διχομήνου
Ἐς διχάδα φθιμένην· ἔχεται δέ οἱ αὐτίκα τετρὰς
Μηνὸς ἀποιχομένου, τῇ δὲ τριτάτη ἐπιόντος.
Εἰ δέ κέ μιν περὶ πᾶσαν ἀλωαὶ κυκλώσωνται
Ἢ τρεῖς, ἠὲ δύω περικείμεναι, ἠὲ μί᾽ οἴη·
Τῇ μὲν ἰῇ ἀνέμοιο γαληναίης τε δοκεύειν,
Ῥηγνυμένῃ ἀνέμοιο, μαραινομένῃ δὲ γαλήνης·
Ταὶ δύο δ᾽ ἂν χειμῶνι περιτροχάοιντο σελήνην·
Μείζονα δ᾽ ἂν χειμῶνα φέροι τριέλικτος ἀλωή·
Καὶ μᾶλλον μελανεῦσα· καὶ εἰ ῥηγνύατο μᾶλλον.
Καὶ τὰ μὲν οὖν ἐπὶ μηνὶ σεληναίης κε πύθοιο.
Ἠελίοιο δέ τοι μελέτω ἑκάτερθεν ἰόντος.
Ἠελίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται,
Ἀμφότερον δύνοντι καὶ ἐκ περάτης ἀνιόντι.
Μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούρας
Κύκλος, ὅτ᾽ εὐδίου κεχρημένος ἤματος εἴης,
Μηδέ τι σῆμα φέροι, φαίνοιτο δὲ λιτὸς ἁπάντη.
Εἰ δ᾽ αὔτως καθαρόν μιν ἔχοι βουλύσιος ὥρη,
Δύνοι δ᾽ ἀνέφελος μαλακὴν ὑποδείελος αἴγλην·
Καί κεν ἐπερχομένης ἠοῦς ἔθ᾽ ὑπεύδιος εἴη.
Ἀλλ᾽ οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ·
Οὐδ᾽ ὁπότ᾽ ἀκτίνων αἱ μὲν νότον, αἱ δὲ βορῆα
Σχιζόμεναι βάλλωσι, τὰ δ᾽ αὖ περὶ μέσσα φαείνῃ·

---

806. πέλονται plurimi. Vulgo πέληται 809 γρ. δέχεται δέ μιν 810. γρ. ἤδη τριτάτη ἀπιόντος: vulgo τῇ δὲ τριτάτῃ, ἀπιόντος. Veram Vossius scripturam instauravit, ἐπιόντος substituens inepto ἀπιόντος ex re ipsa et collato Avieno.

811. Codicum auctoritatem secutus sum, quorum plerique epicam formam ἀλωή cum leni, atticam ἅλως infra 941. omnes cum aspero exhibent. 817. ῥηγνύατο 3. pl. opt. relata ad duas vel tres.

Ἀλλά που ἢ ὑετοῖο διέρχεται ἢ ἀνέμοιο.
Σκέπτεο δ', εἴ κέ τοι αὐγαὶ ὑπείκωσ' ἠελίοιο,
Αὐτὸν ἐς ἥλιον· τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισαι·
Εἴ τί οἱ ἤπου ἔρευθος ἐπιτρέχει, οἷά τε πολλὰ
Ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα,
Ἢ εἴ που μελανεῖ· καί τοι τὰ μὲν ὕδατος ἔςω
Σήματα μέλλοντος, τὰ δ' ἐρεύθεα πάντ' ἀνέμοιο.
Εἴ γε μὲν ἀμφοτέρων ἄμυδις κεχρωμένος εἴη
Καί κεν ὕδωρ φορέοι καὶ ὑπηνέμιος τανύοιτο.
Εἰ δέ οἱ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
Ἀκτῖνες συνίωσι καὶ ἀμφ' ἑνὶ πεπλήθωσιν·
Ἤ ποτε καὶ νεφέων πεπιεσμένος ἢ ὅγ' ἐς ἠῶ
Ἔρχηται παρὰ νυκτὸς, ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα·
Ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα.
Μηδ' ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλησιν,
Τὴν δὲ μετ' ἀκτίνων κεχρημένος αὐτὸς ἀερθῇ,
Ἀμνηςεῖν ὑετοῖο. πόλυς δ' ὅτε οἱ περὶ κύκλος,
Οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται
Πρῶτον ἀνερχομένοιο, καὶ ἂψ ἐπὶ μεῖον ἴησιν,
Εὔδιός κε φέροιτο· καὶ εἴ ποτε χείματος ὥρῃ
Ὠχρήσαι κατιών. ἀτὰρ ὕδατος ἡμερινοῖο
Γινομένου, κατόπισθε περὶ νέφεα σκοπέεσθαι
Καδδὴ δυομένου τετραμμένος ἠελίοιο.

---

833. σκοπιαὶ καὶ ἄρισαι. Vrat. Par. A, et Stob. pro καὶ habent εἴσιν: unde suspicor Aratum dedisse, τοῦ γὰρ σκοπαὶ εἴσιν ἄρισαι. 836. γρ. μελόνει. sed recte editur μελανεῖ et hic et Il. η, 64.: nam a μέλας, ανος, μελάνω fieri non potest, sed μελανέω tantum et μελαίνω: quod non ita est in κυδάνω, in quo άνω aeque asciticium atque αίνω in κυδαίνω. 838. Loco vulg. ἀμφοτέροις, ex Par. C et v. l. ap. Stob. dedi ἀμφοτέρων, ex more Arati: vid. 842. Tum κεχρωμένος pro —ωσμένος recte Voss. e codd. Stob. (Par. C κεχρημένος). Vid. Gramm. ampl. in χρώννυμι. 840. De voce αὐτίκα vid. Exc. II. 853. Vulg. Καὶ δὴ: quod cum dudum in meo exemplo correxissem Καδδὴ, nunc Vos-

Ἢν μὲν ὑποσκιάῃσι μελαινομένη εἰκυῖα
Ἠέλιον νεφέλη, ταὶ δ' ἀμφί μιν ἔνθα καὶ ἔνθα
Ἀκτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται,
Ἦ τ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
Εἰ δ' ὁ μὲν ἀννέφελος βάπτοι ῥόου ἑσπερίοιο,
Ταὶ δὲ κατερχομένου νεφέλαι καὶ ἀποιχομένοιο
Πλησίαι ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ
Αὔριον οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο·
Ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
Ἐξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν τανύωνται
Οἷον ἀμαλδύνονται, ὅτε σκιάῃσι κατ' ἰθὺ
Ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη.
Οὐδ', ὅτε οἱ ἐπέχοντι φανήμεναι ἠῶθι πρὸ
Φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλαι,
Ἄῤῥαντοι γίνονται ἐπ' ἤματι κείνῳ ἄρουραι.
Μηδ' αὔτως, ἔτ' ἐόντι πέρην ὁπότε προταθεῖσαι
Ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρὸ,
Ὕδατος ἢ ἀνέμοιο κατοισομένου λελαθέσθαι.
Ἀλλ' εἰ μὲν κεῖναι μᾶλλον κνέφαος φορέοιντο
Ἀκτῖνες, μᾶλλόν κεν ἐφ' ὕδατι σημαίνοιεν·
Εἰ δ' ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν,
Οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα,
Ἦ τ' ἂν ἐπερχομένοιο περιδνοφέοιντ' ἀνέμοιο.
Οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἀλωαὶ
Εὔδιοι· ἀσσότεραι δὲ καὶ ἀσεμφὲς μελανεῦσαι
Μᾶλλον χειμέριαι· δύο δ' ἂν χαλεπώταται εἶεν.

---

sium eandem medelam adhibuisse videns, textui inserere non dubitavi.
853. Fort. Ἢν — βάπτῃ: vid. 854. Ἢν μὲν, et 860. ἑστήκωσιν. 867. γρ. ἄλλη 879. χαλεπώταται Vind. Vulgo — τεραι

Σκέπτεο δ' ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο,
Εἴ πού οἱ νεφέων τὰ παρήλια κικλήσκωνται,
Ἢ νότου ἠὲ Βορῆος ἐρεύθεται, ἢ ἑκάτερθεν.
Μηδ' οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν.
Οὐ γὰρ, ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχουσιν
Ἠέλιον κεῖναι νεφέλαι σχεδὸν ὠκεανοῖο,
Γίνεται ἀμβολίη Διόθεν χειμῶνος ἰόντος.
Εἴ γε μὲν ἐκ Βορέαο μί' οἴη φοινίσσοιτο,
Ἐκ Βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο,
Ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσιν ὑετοῖο.
Ἑσπερίοις καὶ μᾶλλον ἐπίτρεπε σήμασι τούτοις·
Ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἔμμενὲς αἰεί.
Σκέπτεο καὶ ΦΑΤΝΗΝ, ἡ μέν τ' ὀλίγη εἰκυῖα
Ἀχλύϊ Βοῤῥαίη ὑπὸ Καρκίνῳ ἡγηλάζει·
Ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
Ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὔτε μάλ' ἐγγὺς,
Ἀλλ' ὅσσον τε μάλιστα πυγούσιον οἰήσασθαι·
Εἷς μὲν πὰρ Βορέαο, νότῳ δ' ἐπικέκλιται ἄλλος.

---

883. *Fort.* Μηδ' αὔτως· 884. γρ. ἔχωσιν 889. Schol. γρ. Ἐσθ' ὅτε καὶ ῥαθ.: prosarium 890. Sic codd. longe plurimi, sed cum varr. lectt. ἐπίτρεχε et κείνοις. In codd. autem et in codd. Vat. 2. Par. D Ἑσπερίοις καὶ μᾶλλον ἀληθέα τεκμαίρεο. In priori illa lectione nihil est omnino quod reprehendam. Immo verba σήμασι τούτοις generaliorem versus 891. sententiam, quae in vulgata nimis abrupta infertur, superioribus adnectunt. Neque, quod Vossio videbatur, in scholiis ullum est alterius lectionis indicium, sed solius ἐπίτρεχε σήμασι. 891. *Fort.* ὅλως, in oppositionem proximi τούτοις. Scio quidem, ὅλως non esse apud Homerum, Apollonium, cet.: sed iidem carent etiam adjectivo ὅλος, quod familiare est nostro. Voss. ὅπως σημαίνετο, ἔμμενὲς αἰεί. Nam γρ. σημαίνετον.

893. Cum nesciam a βοῤῥᾶς itidem ut a βορέας per ει adjectivum inclinetur necne, dedi quod major pars codicum habet: βοῤῥείη unus Par. E, βορεείαι C, βοῤῥέη Mosc. — Jungendum autem puto ὑπηγηλάζει (h. e. ὑφηγεῖται) Καρκίνῳ, quoniam in fronte sideris situm est Praesepe. 895. *Legendum* ὀΐσασθαι: vid. infra ad v. 1006. 897. Sic Mosc. Cas. Par. A: vulgo ἐπιέρχεται

Καὶ τοὶ μὲν καλέονται ΟΝΟΙ· μέσση δέ τε Φάτνη.
Ἧτε καὶ ἐξαπίνης, πάντη Διὸς εὐδιόωντος,
Γίνετ' ἀφαντος ὅλη· τοὶ δ' ἀμφοτέρωθεν ἰόντες
Ἀστέρες ἀλλήλων αὐτοσχεδὸν ἰνδάλλονται·
Οὐκ ὀλίγῳ χειμῶνι τότε κλύζονται ἄρουραι.
Εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν
Ἀστέρες ἀμφότεροι, περί χ' ὕδατι σημαίνοιεν.
Εἰ δ' ὁ μὲν ἐκ Βορέω Φάτνης ἀμενηνὰ φαείνοι
Λεπτὸν ἐπαχλύων, νότιος δ' Ὄνος ἀγλαὸς εἴη,
Δειδέχθαι ἀνέμοιο νότου· Βορέω δὲ μάλα χρὴ
Ἔμπαλιν ἀχλυόεντι φαεινομένῳ τε δοκεύειν.
Σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα
Γινέσθω, καὶ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες·
Ἀκταί τ' εἰνάλιοι ὁπότ' εὔδιοι ἠχήεσσαι
Γίνονται, κορυφαί τε βοώμεναι οὔρεος ἄκραι.
Καὶ δ' ἂν ἐπὶ ξηρὴν ὅτ' ἐρῳδιὸς οὐ κατὰ κόσμον
Ἐξ ἁλὸς ἔρχηται φωνῇ περίαλλα λεληκώς,
Κινυμένου κε θάλασσαν ὕπερ φορέοιτ' ἀνέμοιο.
Καί ποτε καὶ κέπφοι, ὁπότ' εὔδιοι ποτέονται
Ἀντία μελλόντων ἀνέμων εἰληδὰ φέρονται.
Πολλάκι δ' ἀγριάδες νῆσσαι ἢ εἰναλίδιναι
Αἴθυιαι χερσαῖα τινάσσονται πτερύγεσσιν·
Ἢ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν.
Ἤδη καὶ πάπποι, λευκῆς γήρειον ἀκάνθης,

---

903. ἐοικότες, h. e. ἐοικότες ἑαυτοῖς, *quales esse solent*: vid. infra 1091.
906. Vulgo ἐπαχλυόων. Correxit Schneid. in Lex.

911. εἰνάλιοι hic quidem codd. omnes: sed infra 942. iidem εἰνάλιαι, quod hic quoque poetam scripsisse existimo. Cf. εἰνοδίην v. 132. 914. περίαλλα Par. C: vulgo περὶ πολλά 918. Voss. εἰναλίδινοι, recte quidem ad consuetudinem: sed potuit poeta rariora illa sequi, ἀμφιρύτη, Θηροφόνη: et cf. 1022. ἐν-

Σῆμ' ἐγένοντ' ἀνέμου, κωφῆς ἁλὸς ὁππότε πολλὰ
Ἄκρον ἐπιπλώωσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω.
Καὶ θέρεος βρονταί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
Ἔνθεν ἐπερχομένοιο περισκοπέειν ἀνέμοιο.
Καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες ἀΐσσωσιν
Ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ὑπολευκαίνωνται,
Δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοιο
Πνεύματος· ἢν δὲ καὶ ἄλλοι ἐναντίοι ἀΐσσωσιν,
Ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
Παντοίων ἀνέμων, οἵ τ' ἄκριτοί εἰσι μάλιστα,
Ἄκριτα δὲ πνείουσιν ἐπ' ἀνδράσι τεκμήρασθαι.
Αὐτὰρ ὅτ' ἐξ εὔροιο καὶ ἐκ νότου ἀστράπτησιν,
Ἄλλοτε δ' ἐκ ζεφύροιο, καὶ ἄλλοτε πὰρ βορέαο,
Δὴ τότε τις πελάγει ἔνι δείδιε ναυτίλος ἀνὴρ,
Μή μιν τῇ μὲν ἔχῃ πέλαγος τῇ δ' ἐκ Διὸς ὕδωρ·
Ὕδατι γὰρ τοσσαίδε περὶ στεροπαὶ φορέονται.
Πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα προπάροιθεν
Οἷα μάλιστα πόκοισιν ἐοικότες ἰνδάλλονται·
Ἢ διδύμη ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις.
Ἤ καί πού τις ἅλωα μελαινομένην ἔχει ἀστήρ.
Πολλάκι λιμναῖαι ἢ εἰνάλιαι ὄρνιθες

κράγηρα. 923. γρ. ἐπιπλείωσι 929. Vulgo Εἰ δέ κεν. Par. C cum quattuor aliis Ἢν —: unde rectè Vossius conjiciebat fuisse Ἢν δὲ καί: quod ego, cum post mutatam, quae non recte olim subsequebatur, vocem ἄλλοιν, sermo particula καὶ videretur carere non posse, adoptavi. Versu autem seq. Ἄλλοι δ', pro vulg. Ἄλλοις, recte Voss. e codd, quibus accedunt decem de Bekkerianis; refragantibus tamen optimae notae illis Vat. 2. Par. C. Sed in tam minutis indicia quidem praebent boni codices; auctoritatem soli non habent. Indicium autem est vel in uno illo codicis C ἤν. 937. Legendum τόσσαι γε 941. ἅλωα: vid. ad 811. 942. Par. B post Πολλάκι supra lineam additum habet δέ. sed praeferendum asyndeton Πολλάκι — Πολλάκι —. Neque vitanda est voculae ἢ ante εἰνάλιαι in thesi productio, cum particula haec, ante vocalem, revera sit divisionem passa (ἤ') ex antiqua forma ἠέ. Vid. 106. 918.

Ἄπλητον κλύζονται ἐνιέμεναι ὑδάτεσσιν·
Ἢ λίμνην πέρι δηθὰ χελιδόνες ἀΐσσονται
Γαστέρι τύπτουσαι αὔτως εἰλυμένον ὕδωρ·
Ἢ μᾶλλον δειλαὶ γενεαὶ, ὕδροισιν ὄνειαρ,
Αὐτόθεν ἐξ ὕδατος πατέρες βοόωσι γυρίνων·
Ἢ τρύζει ὀρθρινὸν ἐρημαίη ὀλολυγών·
Ἤπου καὶ λακέρυζα παρ' ἠϊόνι προυχούσῃ
Χείματος ἐρχομένου χέρσῳ ὑπέκυψε κορώνη,
Ἤπου καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ' ἄκρους
Ὤμους ἐκ κεφαλῆς, ἢ καὶ μάλα πᾶσα κολυμβᾷ,
Ἢ πολλὴ στρέφεται παρ' ὕδωρ παχέα κρώζουσα.
Καὶ βόες ἤδη τοι πάρος ὕδατος ἐνδίοιο
Οὐρανὸν εἰσανιδόντες ἀπ' αἰθέρος ὠσφρήσαντο·
Καὶ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
Θᾶσσον ἀνηνέγκαντο· καὶ ἀθρόοι ὤφθεν ἴουλοι
Τείχη ἀνέρποντες, καὶ πλαζόμενοι σκώληκες,
Κεῖνοι, τοὺς καλέουσι μελαίνης ἔντερα γαίης.
Καὶ τιθαὶ ὄρνιθες, ταὶ ἀλέκτορος ἐξεγένοντο,

---

943. Ἄπλητον Vossius: acc. Par. C: vulgo Ἄπληστον 945. Voss. εἰλευμένον 946. Apud Plut. Quaest. nat. 2., ubi versus iste appositus, in codd. sunt var. lectt. μάλα et δηλαιαί: unde effeceris μάλα δειλαιαι: sed μᾶλλον recte in schol. explicatur παρὰ τὴν συνήθειαν; cf. 415. 1105. 1132. 950. Codd. longe plurimi ὑπέτυψε. Receptam habent Vat. 2. Par. D et Schol. 951. De hoc hiatu vid. Herm. post Orph. p. 736. 953. γρ. πολλὰ

956. Memorabilis est in Palat. Par. B, Ven. 2. variatio ὀχῆς ἔξω ἐᾷ πάντα, allata illa ex sui temporis codicibus etiam Plutarcho Sollert. Anim. 11. ubi in Arati versu scribi debet itidem ἔξω ἐᾷ, quod sensus ibi indicat et corrupta in Aldina Plutarchi editione lectio: ἔξω ὀχῆσ' ἐᾶ πάντα. Deinde subjicitur ibidem, καί τινες οὐκ ἐᾷ (ὤεα) γράφουσιν, quo facto altera illa scriptura explicatur de *frugum penu*. Noli tamen de veritate receptae apud Aratum lectionis dubitare: nam primum forma ὤεα aliquoties est etiam apud Nicandrum; deinde Theophrastus, quem unum sequitur Aratus, nonnisi de ovis formicarum tradit; atque in eundem sensum Virgilius Geor. 1, 379. versum nostrum expressit. — Pro ὀχῆς autem scribendum fortasse, quanquam non pronuntiandum, ὀχεῆς, ob vv. 1026. et

Εὖ ἐφθειρίσσαντο καὶ ἔκρωξαν μάλα φώνῃ,
Οἷόν τε σαλάον φορέει ἐπὶ ὕδατι ὕδωρ.
Δή ποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν
Ὕδατος ἐρχομένοιο Διὸς πάρα σῆμ᾽ ἐγένοντο,
Φαινόμενοι ἀγεληδὰ καὶ ἰρήκεσσιν ὁμοῖον
Φθεγξάμενοι. καί που κόρακες δίους σαλαγμοὺς
Φώνῃ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο·
Ἤ ποτε καὶ κρώξαντε βαρείῃ δισσάκι φωνῇ
Μακρὸν ἐπιρροιζεῦσι τιναξάμενοι πτερὰ πυκνά.
Καὶ νῆσσαι οἰκουροὶ, ὑπωρόφιοί τε κολοιοὶ
Ἐρχόμενοι κατὰ γεῖσσα, τινάσσονται πτερύγεσσιν·
Ἢ ἐπὶ κῦμα διώκει ἐρωδιὸς ὀξὺ λεληκώς.
Τῶν τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ
Γινέσθω· μηδ᾽ εἴ κεν ἐπιπλέον ἠὲ πάροιθεν
Δάκνωσιν μυῖαι, καὶ ἐφ᾽ αἵματος ἱμείρωνται·
Ἢ λύχνοιο μύκητες ἀγείρωνται περὶ μύξαν
Νύκτα κατὰ σκοτίην· μηδ᾽ ἣν ὑπὸ χείματος ὥρην
Λύχνων ἄλλοτε μέν τε φάος κατὰ κόσμον ὀρώρῃ,
Ἄλλοτε δ᾽ ἀΐσσωσιν ἄπο φλόγες ἠΰτε κοῦφαι
Πομφόλυγες· μηδ᾽ εἴ κεν ἐπ᾽ αὐτόφι μαρμαίρωσιν
Ἀκτῖνες· μηδ᾽ ἢν θέρεος μέγα πεπταμένοιο
Νησαῖοι ὄρνιθες ἐπασσύτεροι φορέωνται.
Μηδὲ σύγ᾽, ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω
Σπινθῆρες ὅτ᾽ ἔωσι πέρι πλέονες, λελαθέσθαι·
Μηδὲ κατὰ σποδιὴν ὁπότ᾽ ἄνθρακος αἰθομένοιο
Λάμπηται πέρι σήματ᾽ ἐοικότα κεγχρείοισιν.

1069. 966: γρ. δίους γε. Ego hoc sibi sumpsisse Aratum censeo, ut primam in σαλαγμοὺς produceret.

977. Voss. e schol. Aristoph. Vesp. 262. νοτίην: cf. Theoph. 1, 14. Tum γρ. ὤρῃ 982. Νησαῖοι Schneid. in Lex. Valgo Νησσαῖοι

Ἀλλ᾽ ἐπὶ καὶ τὰ δόκευε περισκοπέων ὑετοῖο.
Εἴ γε μὲν ἠερόεσσα πάρεξ ὄρεος μεγάλοιο
Πυθμένα τείνηται νεφέλη, ἄκραι δὲ κολῶναι
Φαίνωνται καθαραὶ, μάλα κεν τόθ᾽ ὑπεύδιος εἴης.
Εὔδιός κ᾽ εἴης καὶ ὅτε πλατέος παρὰ πόντου
Φαίνηται χθαμαλὴ νεφέλη, μηδ᾽ ὑψόθι κύρῃ,
Ἀλλ᾽ αὐτοῦ πλαταμῶνι παραθλίβηται ὁμοίη.
Σκέπτεο δ᾽ εὔδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον,
Ἐς δὲ γαληναίην χειμωνόθεν. εὖ δὲ μάλα χρὴ
Ἐς Φάτνην ὁράαν, τὴν Καρκίνος ἀμφιελίσσει,
Πρῶτα καθαιρομένην πάσης ὑπένερθεν ὁμίχλης·
Κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χειμῶνι.
Καὶ φλόγες ἡσύχιαι λύχνων, καὶ νυκτερίη γλαὺξ
Ἥσυχον ἀείδουσα μαραινομένου χειμῶνος
Γινέσθω τοι σῆμα· καὶ ἥσυχα ποικίλλουσα
Ὥρῃ ἐν ἑσπερίῃ κρώζῃ πολύφωνα κορώνη·
Καὶ κόρακες μοῦνοι μὲν ἐρημαῖοι βοόωντες
Δισσάκις, αὐτὰρ ἔπειτα μέγ᾽ ἀθρόα κεκλήγοντες·
Πλειότεροι δ᾽ ἀγεληδὸν, ἐπὴν κοίτοιο μέδωνται,
Φωνῆς ἔμπλειοι· χαίρειν κέ τις οἴσαιτο,
Οἷα τὰ μὲν βοόωσι λιγαινομένοισιν ὁμοῖα,
Πολλὰ δὲ δενδρείοιο περὶ φλόον, ἄλλοτ᾽ ἐπ᾽ αὐτοῦ
Ἧχί τε κείουσιν καὶ ὑπότροποι ἀπτερύονται.

1001. Voss. καὶ ἦχ᾽ ὅτε ποτε. Si quoquo modo juvanda sit structura, κρώζῃ potius in κρωγμὸν mutaverim. 1004. Vulgo μετάθροα. Correctionem meam Schneidero et Vossio probatam fidenter in textum nunc insero. Ἀθρόα opponitur τῷ δισσάκις. 1006. Codd. ὠΐσαιτο, οἴσοιτο. Homerica est forma ὀΐσασθαι. Reposui itaque quod medium est inter codicum scripturas, cujusque prima syllaba pronuntiando hic extendebatur, ut apud Homerum secunda in ὀλοῆσιν, et apud nostrum modo v. 1000. prima in ἀείδουσα. Neque dubium, quin supra quoque v. 896. vera scriptura ὀΐσασθαι exturbata sit illo οἰήσασθαι, quod neque Homericum est neque Atticum. 1008. γρ. κατὰ φλόον 1009. Cum apud He-

Καὶ δ᾽ ἂν που γέρανοι μαλακῆς προπάροιθε γαλήνης
Ἀσφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι,
Οὐδὲ παλιῤῥόθιοί κεν ὑπεύδιοι φορέοιντο.
Ἦμος δ᾽ ἀςερόθεν καθαρὸν φάος ἀμβλύνηται,
Οὐδέ ποθεν νεφέλαι πεπιεσμέναι ἀντιόωσιν,
Οὐδέ ποθεν ζόφος ἄλλος ὑποτρέχῃ, οὐδὲ σελήνη,
Ἀλλὰ τάγ᾽ ἐξαπίνης αὔτως ἀμενηνὰ φέρωνται·
Μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω,
Ἀλλ᾽ ἐπὶ χεῖμα δόκευε· καὶ ὁππότε ταὶ μὲν ἔωσιν
Αὐτῇ ἐνὶ χώρῃ νεφέλαι, ταὶ δ᾽ ἄλλαι ὑπ᾽ αὐταῖς
Ταὶ μὲν ἀμειβόμεναι, ταὶ δ᾽ ἐξόπιθεν φορέωνται.
Καὶ χῆνες κλαγγηδὸν ἐπειγόμεναι βρωμοῖο
Χειμῶνος μέγα σῆμα, καὶ ἐννεάγηρα κορώνη
Νύκτερον ἀείδουσα, καὶ ὀψὲ βοῶντε κολοιοὶ,
Καὶ σπίνος ἠῷα σπίζων, καὶ ὄρνεα πάντα
Ἐκ πελάγους φεύγοντα, καὶ ὀρχίλος, ἢ καὶ ἐριθεὺς
Δύνων ἐς κοίλας ὀχεάς, καὶ φῦλα κολοιῶν
Ἐκ νομοῦ ἐρχόμενα τραφεροῦ ἐπὶ ὄψιον αὖλιν.
Οὐδ᾽ ἂν ἔτι ξουθαὶ μεγάλου χειμῶνος ἰόντος
Πρόσσω ποιήσαιντο νομὸν κηροῖο μέλισσαι,
Ἀλλ᾽ αὐτοῦ μέλιτός τε καὶ ἔργων εἰλίσσονται·
Οὐδ᾽ ὕψου γεράνων μακραὶ ςίχες αὐτὰ κέλευθα

---

sychium legatur: Ἀπταρύσσεται, πέτεται: admodum illi simile verbum ἀπτερύονται mutate cum αὖ πτερύονται, qupd praebent codd. nonnulli, non snatinui, diffisus otioso αὖ, atque ex rariori verbo ἀπτερύονται (quod servat etiam Vat. 2.) natum suspicans et αὖτ᾽ ἐρύονται (quod est in Par. C), et αὖ πτερύονται. Verum neque illius καί qui commodam rationem redderet vidi: itaque pro κείουσιν καὶ — conjicio fuisse κακκείουσιν. Ita sensus facilis. E pastu ad cubile reduces circa arborem, et in illa ipsa considentes, alas concutiunt.

1018. γρ. μενέωσιν. Schol. ἐν τῷ αὐτῷ μένωσιν ἀκίνητοι. Legendum censeo, vel ye μένωσιν. 1019. γρ. ἐπ᾽ αὐταῖς.

1021. γρ. ἐπειγόμενοι 1028. ἴττ Vos. Valgo ἐπὶ

Τείνονται, γροφάδες δὲ παλαιπετὲς ἀπονέονται.
Μηδ᾽, ὅτε νηνεμίη κεν ἀράχνια λεπτὰ φέρηται,
Καὶ φλόγες αἰθύσσωσι μαραινομένου λύχνοιο,
Ἢ πῦρ αὔηται σπουδῇ καὶ ὑπεύδια λύχνα,
Πιστεύειν χειμῶνι. τί τοι λέγω ὅσσα πέλονται
Σήματ᾽ ἐπ᾽ ἀνθρώπους; δὴ γὰρ καὶ ἀεικεῖ τέφρῃ
Αὐτοῦ πηγνυμένῃ νιφετοῦ ἐπιτεκμήραιο·
Καὶ λύχνῳ χιόνος, κέγχροις ὅτ᾽ ἐοικότα πάντῃ
Κύκλῳ σήματ᾽ ἔχει πυριλαμπέος ἐγγύθι μύξης·
Ἄνθρακι δὲ ζώοντι χαλάζης, ὁππότε λαμπρὸς
Αὐτὸς ἐείδηται, μέσσῳ δέ οἱ ἠΰτε λεπτὴ
Φαίνηται νεφέλη, πυρὸς ἔνδοθεν αἰθομένοιο.
Πρῖνοι δ᾽ αὖ καρποῖο καταχθέες, οὐδὲ μέλαιναι
Σχῖνοι ἀπείρητοι· πάντῃ δέ τε πολλὸς ἀλωεὺς
Αἰεὶ παπταίνει, μή οἱ θέρος ἐκ χερὸς ἔῤῥῃ.
Πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι
Χειμῶνός κε λέγοιεν ἐπιπλέον ἰσχύσοντος.
Μὴ μὲν ἄδην ἔκπαγλα περιβρίθοιεν ἁπάντῃ,
Τηλοτέρω δ᾽ αὐχμοῖο συνασταχύοιεν ἄρουραι.
Τριπλόα δὲ σχῖνος κυέει, τρισσαὶ δέ οἱ αὖξαι
Γίνονται καρποῖο, φέρει δέ τε σήμαθ᾽ ἑκάστη
Ἑξείης ἀρότῳ. καὶ γάρ τ᾽ ἀροτήσιον ὥρην
Τριπλόα μείρονται, μέσσην καὶ ἐπ᾽ ἀμφότερ᾽ ἄκρα·
Πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην

1033. κεν Voss. cum Vind. Vrat. Laur. Vulgo ἐν. γρ. φέρωνται 1035. Vulgo σπουδῇ. Correctionem meam adoptarunt Schneid. in Lex. et inde Voss.

1044. Vulgo δ᾽ οὐ, negatione non suo loco posita, cum deberet esse, Οὐδὲ πρῖνοι — οὐδὲ —. Reposui δ᾽ αὖ e Mosc. et Par. A, negatione priore loco suppressa, de qua figura vid. Schaef. ad L. Bos p. 777. Eandem horum δ᾽ αὖ et δ᾽ οὐ confusionem vidimus supra 610.

1049. Μὴ μὲν ἄδην. Sic plur. et opt.: μὲν pro μήν: *ne tamen*. Vulgo Μηδὲ

Καρπὸς ἀπαγγέλλει, πυμάτην γε μὲν ἔσχατος ἄλλων.
Ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται,
Κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη,
Τῷ δέ γ' ἀφαυροτάτῳ ὀλίγη, μέσσῳ δέ τε μέσση.
Αὔτως δ' ἀνθέρικος τριχθὰ σκίλλης ὑπερανθεῖ,
Σήματ' ἐπιφράσσασθαι ὁμοιίου ἀμητοῖο.
Ὅσσα δ' ἐνὶ σχίνου ἀροτὴρ ἐφράσσατο καρπῷ,
Τόσσα δὲ καὶ σκίλλης τεκμαίρεται ἄνθεϊ λευκῷ.
Αὐτὰρ ὅτε σφῆκες μετοπωρινὸν ἤλιθα πολλοὶ
Πάντῃ βεβρίθωσι, καὶ ἑσπερίων προπάροιθεν
Πληϊάδων εἴποι τις ἐπερχομένου χειμῶνος,
Οἷος ἐπὶ σφήκεσσιν ἑλίσσεται αὐτίκα δῖνος.
Θήλειαι δὲ σύες, θήλεια δὲ μῆλα καὶ αἶγες
Ὁππότ' ἀναστρωφῶσιν ὀχῆς, τὰ δέ γ' ἄρσενα πάντα
Δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέωνται,
Αὔτως κε σφήκεσσι μέγαν χειμῶνα λέγοιεν.
Ὀψὲ δὲ μισγομένων αἰγῶν μήλων τε συῶν τε
Χαίρει ἄνολβος ἀνήρ, ὅ οἱ οὐ μάλα θαλπιόωντι
Εὔδιον φαίνουσι βιβαιόμεναι ἐνιαυτόν.
Χαίρει καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεὺς
Ὥριον ἐρχομέναις, ὁ δ' ἀώριος αὐτίκα μᾶλλον·
Αὔτως γὰρ χειμῶνες ἐπέρχονται γεράνοισιν·
Πρώϊα μὲν καὶ μᾶλλον ὁμιλαδὸν ἐρχομένῃσιν

ἄδην 1060. γρ. ὑπεραρθῇ 1061. ὁμοιίου Voss. Vulgo ὁμοίιον 1063. Vulgo Τόσσα καὶ ἐν —. Sed pars codd. inserunt δὲ ante καὶ; quod adoptavi abjecto ἐν. V. ad Soph. Philoct. 87. 1067. Mosc. et Pal. εἰλίσσεται: unde Voss. σφηκέων εἰλίσσεται (junge ἐπι-ειλίσσεται): fortassis recte: sed tum scribendum σφηκῶν, ut mox αἰγῶν, συῶν 1068. θήλεια. Vid. Gramm. ampl. §. 62. Obs. 3. 1069. ὀχή hic usurpatum pro eo quod alias est ὀχεία. πάντα. *Fort.* πᾶσαι 1071. Vulgo Αὐτῷ καὶ —. Arnaldi emendationem αὔτως confirmarunt octo e Bekk.: κε pro καὶ addidit Voss. 1074. γρ. βιβαιόμεναι. Cf. Schol. 1076. *Legendum* ἀώροις: vid. Exc. II, 4. 1078. Voss. ex ed.

Πρώϊος· αὐτὰρ ὅτ᾽ ὀψὲ καὶ οὐκ ἀγεληδὰ φανεῖται
Πλειότερον φορέονται ἐπὶ χρόνον, οὐδ᾽ ἅμα πολλαὶ,
Ἀμβολίη χειμῶνος ὀφέλλεται ὕστερα ἔργα.
Εἰ δὲ βόες καὶ μῆλα, μετὰ βρίθουσαν ὀπώρην,
Γαῖαν ὀρύσσωσιν, κεφαλὰς δ᾽ ἀνέμοιο βορῆος
Ἀντία τείνωσιν, μάλα κεν τότε χείμερον αὐταὶ
Πληϊάδες χειμῶνα κατερχόμεναι φορέοιεν.
Μὴ δὲ λίην ὀρύχοιεν· ἐπεὶ μέγας οὐ κατὰ κόσμον
Γίνεται οὔτε φυτοῖς χειμὼν φίλος οὔτ᾽ ἀρότοισιν.
Ἀλλὰ χιὼν εἴη πολλὴ μεγάλαις ἐν ἀρούραις,
Μήπω κεκριμένη μηδὲ βλωθρῇ ἐπὶ ποίῃ,
Ὄφρα τις εὐεστοῖ χαίρῃ ποτιδέγμενος ἀνήρ.
Οἵ δ᾽ εἶεν καθύπερθεν ἐοικότες ἀστέρες αἰεί·
Μηδ᾽ εἷς μήτε δύω μήτε πλέονες κομόωντες·
Πολλοὶ γὰρ κομόωσιν ἐπ᾽ αὐχμηρῷ ἐνιαυτῷ.
Οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθεν ἀνὴρ,
Ἐκ νήσων ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις,
Ἐρχομένου θέρεος χαίρει· περιδείδιε δ᾽ αἰνῶς
Ἀμητῷ, μή οἱ κενεὸς καὶ ἀχύρμιος ἔλθῃ
Αὐχμῷ ἀνιηθείς. χαίρει δέ που αἰπόλος ἀνὴρ
Αὐταῖς ὀρνίθεσσιν, ἐπὴν κατὰ μέτρον ἴωσιν,
Ἐλπόμενος μετέπειτα πολυγλαγέος ἐνιαυτοῦ.
Οὕτω γὰρ μογεροὶ καὶ ἀλήμονες ἄλλοθεν ἄλλοι
Ζώομεν ἄνθρωποι. τὰ δὲ πὰρ ποσὶ πάντες ἑτοῖμοι

Basil. μᾶλλον καὶ   1079. Πρώϊος Voss. Vulgo Πρώϊον   1088. γρ. ἐπ᾽
1089. γρ. περί: παρὰ   1090. εὐεστοῖ Par. C cum aliis quinque. Alii εὐετοῖ: εὐετύϊ.

1091. Sic Voss. e Mosc. cui acc. quattuor e Bekk. Adaptavit autem huic lectioni Vossius negativas in v. sq. particulas. Vulgo Μηδ᾽ εἶεν —, Μηθ᾽ εἷς, μήτε —, μηδὲ —. Cf. Schol.: et ad sensum vocis ἐοικότες, *sui similes*, *figura consueta*, supra 903.   1097. ἀχύρμιος Par. C: vulgo oxyt.

Σήματ' ἐπιγνῶναι, καὶ ἐσαυτίκα ποιήσασθαι.
'Αρνάσι μὲν χειμῶνος ἐτεκμήραντο νομῆες,
'Ες νομὸν ὁππότε μᾶλλον ἐπειγόμενοι τροχόωσιν,
"Αλλη δ' ἐξ ἀγέλης κριοὶ, ἄλλη δὲ καὶ ἀμνοὶ
Εἰνόδιοι παίζωσιν ἐρειδόμενοι κεράεσσιν·
"Η ὁπότ' ἄλλοθεν ἄλλοι ἀναπλήσσωσι πόδεσσιν
Τέτρασιν οἱ κοῦφοι, κεραοί γε μὲν ἀμφοτέροισιν·
"Η καὶ ὅτ' ἐξ ἀγέλης ἀεκούσια κινήσωσιν
Δείελον εἰσελάοντες ὅμως, τὰ δὲ πάντοθι ποίης
Δάκνωσιν πυκινῇσι κελευόμενα λιθάκεσσιν.
'Εκ δὲ βοῶν ἐπύθοντ' ἀρόται καὶ βουκόλοι ἄνδρες
Κινυμένου χειμῶνος. ἐπεὶ βόες ὁππότε χηλὰς
Γλώσσῃ ὑπωμαίοιο ποδὸς περιλιχμήσωνται,
"Η κοίτῳ πλευρῆς ἐπὶ δεξιτερῆς τανύσωνται,
'Αμβολίην ἀρότοιο γέρων ἐπιέλπετ' ἀροτρεύς.
'Ηδ' ὅτε μυκηθμοῖο περίπλειοι ἀγέρωνται
'Ερχόμεναι σταθμόνδε βόες βουλύσιον ὥρην

1106. "Αλλη — ἄλλη Voss. Vulgo "Αλλοι — ἄλλοι 1108. Voss. e conj. Schneid. ἀναπλίσσωσι 1111. 12. Displicet generis mutatio (πρόβατα): ut ideo fortasse, non metri gratia, scribendum sit κελευόμενοι, et τὰ jungendum cum ποίης. 1118. sqq. 'Ηδ'. Sic (sed male divulsum in "Η δ') vulgo, e parte codicum: alii, iique plurimi et optimi, Οὐδ' —. In proximis autem intercidisse nonnulla, e scholiastae explicatione colligas. Is enim inter, οἱ βόες, et, αἱ δαμάλεις, distinguit: quo tamen non, ut ἐρχόμενοι apud poetam corrigam, utar; sed in scholio potius αἱ βόες. Ipsa autem scholiastae verba haec sunt: ὅταν μετὰ πλείονος μυκηθμοῦ οἱ (αἱ) βόες ἐπείγωνται ἐπὶ τὸν σταθμὸν, αἱ δὲ δαμάλεις ἐνάλλωνται τοῖς ποσὶ, καθάπερ ἐπὶ τῶν κριῶν χειμῶνα σημαίνει. Manifestum est, hunc enarratorem legisse quae nunc non habemus, quaeque uno tantummodo alterove in nostro textu vocabulo mutando restituere velle operam ludere esset; manifestum est etiam, verbum compositum ἐνάλλεσθαι, quod Arateam dictionem quam maxime sapit, infuisse. Itaque vestigia certe deperditorum habes haecce: — βόες βουλύσιον ὥρην

Σκυθραὶ, ταὶ δὲ πόδεσσιν ἐνάλλωνται [ἀπιοῦσαι
Νωθραὶ] λειμῶνος πόριες καὶ βουβοσίοιο.

Verum quod remanet difficultatis in v. 1121., sive 'Ηδὲ legas v. 1118. sive Οὐδὲ

Σκυθραὶ λειμῶνος πόριες καὶ βουβοσίοιο,
Αὐτίκα τεκμαίρονται ἀχείμεροι ἐμπλήσεσθαι.
Οὐδ᾽ αἶγες πρίνοιο περισπεύδουσαι ἀκάνθαις
Εὔδιοι, οὐδὲ σύες φορυτῷ ἐπιμαργαίνουσαι.
Καὶ λύκος ὁππότε μακρὰ μονόλυκος ὠρύηται,
Ἢ ὅγ᾽ ἀροτρήων ὀλίγον πεφυλαγμένος ἀνδρῶν
Ἔργα κατέρχηται, σκέπαος χατέοντι ἐοικὼς,
Ἐγγύθεν ἀνθρώπων, ἵνα οἱ λέχος αὐτόθεν εἴη·
Τρὶς περιτελλομένης ἠοῦς χειμῶνα δοκεύειν.
Οὕτω καὶ προτέροις ἐπὶ σήμασι τεκμήραιο
Ἐσσομένων ἀνέμων, ἢ χείματος, ἢ ὑετοῖο,
Αὐτὴν ἢ μετὰ τὴν, ἢ καὶ τριτάτην ἔτ᾽ ἐς ἠῶ.
Ἀλλὰ γὰρ οὐδὲ μύες τετριγότες εἴποτε μᾶλλον
Εὔδιοι ἐσκίρτησαν ἐοικότες ὀρχηθμοῖσιν
Ἄσκεπτοι ἐγένοντο παλαιοτέροις ἀνθρώποις·
Οὐδὲ κύνες· καὶ γάρ τε κύων ὠρύξατο ποσσὶν
Ἀμφοτέροις χειμῶνος ἐπερχομένοιο δοκεύων.
[Καὶ μὴν ἐξ ὕδατος καὶ καρκίνος ᾤχετο χέρσον,
Χειμῶνος μέλλοντος ἐπαΐσσεσθαι ὁδοῖο.
Καὶ μύες ἡμέριοι ποσσὶ στιβάδα στρωφῶντες

(οὐκ ἀχείμεροι), id hoc meo conamine non simul tollitur, felicioremque conjectatorem expectat. Nunc servata voce ἠδὲ verbum ἐμπλήσεσθαι hypothetice est capiendum: „sentiunt boves, se mox ἀχειμέρους esse pasturas, eoque invitae de pascuis in stabula recedunt": schol. καὶ διὰ τοῦτο ὀκνηρῶς ἐπὶ τὸν σταθμὸν ἐρχόμεναι, quod vocabulo νωθραὶ reddere conatus sum. Ceterum neque in scholiis sententiam expediri, vel ex istis, quas apposui, dissonis earum laciniis apparet.

1125. ὅγε sine libris quidem, sed e constanti usu reposui pro vulg. ὅτε 1127. Vossius λόχος, collato scholio: οἱ δὲ τὴν ἐνέδραν ἐξέλαβον. 1131. Vulgo ἠὲ μετ᾽ αὐτὴν ἢ τριτάτην. Veram lectionem, quam integram nunc dant Laur. et Cas., Vossius e vestigiis ejus in Mosc. cet. divinaverat.

1132. Par. C et Laur. εἴποθι Versus 1137-41., quorum in scholiis nulla ratio habita, Grotius obelo notavit. Turbant in iis codices quoque, quorum Cas. omittit 1136-40., alii unum 1141., quem alii post 1136. pejus etiam exhibent.

Κοίτης ἱμείρονται, ὅτ᾽ ὄμβρου σήματα φαίνοι·
Κἀκεῖνοι χειμῶνα μύες τότε μαντεύονται.]
Τῶν μηδὲν κατόνοσσο· καλὸν δ᾽ ἐπὶ σήματι σῆμα
Σκέπτεσθαι· μᾶλλον δὲ δυοῖν εἰς ταὐτὸν ἰόντων
Ἐλπωρὴ τελέθοι, τριτάτῳ δέ κε θαρσήσειας.
Αἰεὶ δ᾽ ἂν παριόντος ἀριθμοίης ἐνιαυτοῦ
Σήματα, συμβάλλων εἴπου καὶ ἐπ᾽ ἀστέρι τοίη
Ἠὼς ἀντέλλοντι φαείνεται ἢ κατιόντι,
Ὁπποίην καὶ σῆμα λέγει. μάλα δ᾽ ἄρκιον εἴη
Φράζεσθαι φθίνοντος ἐπερχομένοιό τε μηνὸς
Τετράδας ἀμφοτέρας· αἳ γάρ τ᾽ ἄμυδις συνιόντων
Μηνῶν πεῖρατ᾽ ἔχουσιν, ὅτε σφαλερώτερος αἰθὴρ
Ὀκτὼ νυξὶ πέλει, χήτει χαροποῖο σελήνης.
Τῶν ἄμυδις πάντων ἐσκεμμένος εἰς ἐνιαυτὸν
Οὐδέποτε σχεδίως κεν ἐπ᾽ αἰθέρι τεκμήραιο.

1142. *κατόνοσσο* repertum nunc in Par. G. Ceteri *κατόνησο*, *κατόκνησο*, *κατόνοστε* 1145. *παριόντος* Voss. cum plur. et opt.; „dum praeterit"; cui praesenti respondet *φαείνεται*. Vulgatum olim *περιόντος* corruptum puta e *περιιόντος*, glossemate verbi *παριόντος*. 1147. *γρ. κατέρχεται* 1148. *λέγει* Voss. e Vind. Ceteri omnes *λέγοι* 1149. Sic Vind. Laur. Par. C: vulgo *ἐφισαμένοιο* 1151. Sic Voss. cum plurimis: vulgo *σφαλερώτατος*.

EXCURSUS I.

DE PARTICULIS γὲ μέν.

1. Notum est etiam e prosa oratione, particulas γὲ μήν, quae valent proprie *certe vero*, usu ita coaluisse ut respondeant fere latino *tamen*: notum etiam, in epicorum sermone, sicut omnino μήν in μέν, ita et γὲ μήν transiisse in γὲ μέν: e. g. Il. ε. 516., ubi, Aeneae socios salvum illum videntes gavisos quidem nec tamen ulterius ex eo percontatos esse, his verbis enuntiatur: τοὶ δ' ἐχάρησαν, Ὡς εἶδον ζωὸν — —· μετάλλησάν γε μὲν οὔτι. Atque sic etiam Pindarus Nem. 10, 62. et alii. Verum in hac potissimum forma adversativa vis degeneravit sensim in mere distinctivam, qua γὲ μέν nihil differt a particula δέ, quatenus illa refertur ad μέν, sive expressum illud sive etiam intellectum. Ita plane Apollonius 4, 1466. Βορέαο μὲν ὡρμήθησαν Υἷε δύο πτερύγεσσι πεποιθότε· ποσσὶ δὲ κούφοις Εὔφημος πίσυνος· Λυγκεύς γε μὲν ὀξέα τηλοῦ Ὄσσε βαλεῖν. Arato autem prae aliis ita familiaris est haec formula, ut operae pretium videatur in hoc potissimum poeta usum illius paulo curatius exponere.

2. Hoc autem agenti id ante omnia segregandum est, sicubi μέν, etiam subjunctum voculae γέ seorsim tamen refertur ad particulam δέ; cujus ap-

nostrum exemplum habes v. 37. Ibi enim facta inter Cynosuram et Helicen distinctione, subjicitur: Ἑλίκῃ γε μὲν ἄνδρες Ἀχαιοὶ Εἰν ἁλὶ τεκμαίρονται —· Τῇ δ᾽ ἄρα Φοίνικες κ. τ. ε. Quo minus dubitavimus v. 740. pro Ἄκρα γε μὴν — sensu flagitante admittere Vossii correctionem μέν.

3. Memorabile est autem, quod ipsa primitiva forma γὲ μήν in Arati poemate non occurrit. Nam praeter locum modo memoratum, alterum quoque, ubi hucusque ita legebatur, v. 679. nemine invito itidem a nobis correctum esse confidimus, sententia copulativam potius particulam desiderante. At formulam γὲ μέν primaria illius vi, *tamen*, habes e. g. v. 314.; aut fortiore saltem ad priora oppositione v. 988., ubi sententiarum series postulat: *Contra si* —.

4. Simplice autem vi particulae δέ praeditam crebrius quam alius quisquam adhibet hanc formulam Aratus; ut in nuda ad μέν relatione v. 74.

Νώτῳ μὲν Στεφάνου πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
Σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον.

Adde 807.: it. 1056. ubi eodem modo, quo in loco Apollonii supra allato, conjuncta habemus μέν — δὲ — γὲ μέν (Πρῶτος μὲν —, μέσσος δὲ — πυμάτην γε μὲν —), nullo prorsus inter singulas has partes discrimine. Unde certissime colligitur, etiam non praemisso μέν, vicem gerere γὲ μέν simplicis δέ e. g. 272.; neque minus in illa structurae forma, qua voculam δέ *apodosi* addere solent epici: ut v. 540.

ὅσσον ἐπάντῃ
Ἀντέλλων ἐπέχει, τόσσον γε μὲν ἄλλοθι δύνων.

Itaque formula γὲ μέν usurpatur etiam loco illius δέ, quo diversum quid annectitur, vel ad alia transitur, ut v. 399. 588. 669. 838.

5. Quod autem supra dixi, in formulis γὲ μήν et γὲ μέν particulam γέ coalescere fere cum altera μήν s. μέν, eo efficitur ut, quamvis natura semper pendeat illa ab antecedente vocabulo, in hac tamen dictione non tam arto, quam solet alias, vinculo ei adhaerescat. Quare v. 17. ubi antecedit ἐμοί, non ἔμοιγε μὲν scripsi, sed ἐμοί γε μὲν: quod idem fecit Jacobsius in ἐγώ γε μέν in Epigrammate Damageti Anthol. 16, 1. Not. p. 837.

6. Illud denique monendum est in editis antiquis formulam hanc ita exaratam exhiberi, γέ μεν: quo pacto nova μέν enclitica, hoc nimirum sensu, ceteris accedit; ipsum autem γέ, quae legitima alias est enclitica, distinetur accentu a voce antecedente. Vid e. g. in ed. Grotii vv. 314. 399. 508. et apud Homerum Il. β, 703. ed. Ald. Quin etiam junctim invenio γέμεν scriptum in Arato Grotii v. 74. 87. Qua de re tamen nonnisi quae observavi refero: ulteriorem, si tanti res est, inquisitionem, cum nihildum e codd. enotatum inveniam, aliis relinquens.

EXCURSUS II.

DE PARTICULA αὐτίκα.

1. Vocem αὐτίκα praeter notas significationes *statim*, *mox*, *postmodo*, quae apud Aratum qu

obtinent (e. g. vv. 198. 346. 634. 761.), valere etiam *vicissim* et oppositioni inservire, dudum quidem, ut ab Ernestio ad Od. ϑ, 497. Wakefieldo in Silv. Crit. II. p. 142. observatum atque etiam ex Hesychio probatum est, apud quem inter explicationes ejus vocis habetur etiam πάλιν: sed parum valuit apud viros doctos haec observatio, eo quod in ceterorum quidem poetarum locis, ut in Homerico illo, ad quem Ernestius exposuit, consueta temporis notio retineri posse et proinde retineri debere videretur. Apud Aratum tamen, quanquam apud unum fortasse illum, revera obtinere illam vocis vim, coactis in unum hic exemplis probabo.

2. Sunt autem in illis nonnulla quidem, quibus temporis notio, ex re ipsa accedit; ut v. 880. ubi de sole ita praecipitur:

Σκέπτεο δ᾽ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο,
Εἴ πού οἱ νεφέων τὰ παρήλια κικλήσκονται

κ. τ. ε. Verum nulla tamen in talibus est successionis notio, quae propria est alias vocis αὐτίκα; perinde enim est oriente an occidente sole illud eveniat: id quod magis etiam apparet in his v. 840.

Εἰ δέ οἱ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
Ἀκτῖνες συνίωσι κ. τ. ε.

omnium autem evidentissime v. 750.

— τοτὲ μέν τ᾽ ἀνιὼν, τοτὲ δ᾽ αὐτίκα δύνων.

ubi cum temporis notio his τοτὲ — τοτὲ — comprehensa sit, manifestum fit, vocem αὐτίκα soli oppositioni inservire. Itaque nos alio loco, v. 534. (de Zodiaci signis),

Καὶ τὰ μὲν ἀντέλλει τε καὶ αὐτίκα νειόθι δύνει,
vulgatam scripturam ἀντία, duobus tantum codicibus sustentatam, de magno ceterorum inter se, et cum exemplis allatis consensu mutavimus.

3. Atque nunc etiam reliqua exempla inspiciamus: quorum tamen hoc v. 774.

Ἄλλα δέ τοι ἐρέει ἢ που διχόωσα σελήνη
Πλήθουσ' ἀμφοτέρωθεν ἢ αὐτίκα πεπληθυῖα.

ab illis quae primo loco posuimus nil differt: at in his, quae v. 903. de Praesepi et Asellis dicta sunt,

Εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν,

nulla prorsus est posterioris partis a priori in tempore diversitas, sed illud docetur, quid significet, si nigricante Praesepi Aselli consueto lumine appareant.

4. Quare illo quoque loco, v. 1076., qui ita ab omnibus codd. exhibetur:

Χαίρει καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεὺς
Ὥριον ἐρχομέναις, ὁ δ' ἀώριος αὐτίκα μᾶλλον·

prorsus nunc confido ei rationi, quam Schneidero olim approbaveram, quamque, cum in Lexico v. αὐτίκα ille memorasset, etiam Vossius nunc adoptavit; ut legatur

ὁ δ' ἀώροις αὐτίκα μᾶλλον

„alter contra intempestivis magis gaudet." Quanquam Vossius istud αὐτίκα sensu latini *postea* hic accipit, de aratore, puto, *postea* h. e. serius adventantibus gruibus, gaudente. Concedet tamen mihi vir optimus, septem quos hic conjunxi locos; quoad vocem αὐτίκα una ratione esse intelligendos.

5. Qui vero factum sit, ut in peculiarem hunc sensum uti potuerit hac voce Aratus; an ex ipsa ejus quod est *postea* notione sensim deflexerit illa in notionem ejus quod est *rursus*, *vicissim*; quale inversa ratione evenit in vocibus *αὖ*, *αὖθις*, *ἐσαῦθις*: an mera quadam incuria, cujus exemplis omnis lingua abundat, voces *αὖτε* et *αὐτίκα* inter se permistae sint; de eo quid magis probabiliter statuam non habeo.

EXCURSUS III.

DE LACUNA POST VERSUM 325.

Quamvis haud pauca ab Arato in enarrandis sphaerae signis neglecta sint; illius tamen nullam prorsus excusationem quisquam invenerit, quod signum omnium fulgidissimum, et figurata specie prae ceteris conspicuum, Orionem describendo, tam leviter defungatur, ut in universum tantum de eo praedicet hoc: qui illum praeterierit, praecellentius aliud signum intuiturum non esse. Quod magis etiam miramur, ubi alia multo inferiora signa eo, quem hic desideramus, modo verbis exornata legimus. Nam v. 200. de Andromeda, post similem generalioris sententiae introitum, haec statim subjicit: *Τοίη οἱ κεφαλὴ, τοῖοι δέ οἱ ἀμφοτέρωθεν Ὦμοι, καὶ πόδες ἀκρότατοι καὶ ζώματα πάντα*: et v. 77. de Serpentario, *Τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι Εἴδονται.* Quorum siquis meminerit in verbis illis magnum nuntiantibus de Orione,

. . . μὴ κεῖνον ἄτις κάθαρῇ ἐνὶ νυκτὶ
Ὑψοῦ πεπτηῶτα παρέρχεται, ἄλλα πεποίθοι
Οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι·

hoc certe si quo alias loco exspectabit, iterandis vocibus τοῖος, τοῖοι, τοίη memoratum iri lucidissimas illas in utroque humero et in utroque pede stellas, nobilemque tribus gemmis fulgentem zonam. Quorum tamen nihil fit. Ut justa hinc oriatur suspicio, excidisse ea, quae deesse posse non videntur.

Nam quod infra post ipsam astrorum enarrationem, quando alia occasione ortus Orionis memoratur, zona ejus, et uterque humerus, et gladius, pedibus nimirum adhuc latentibus, nominantur (587. Ἀλλ' εὖ μὲν ζώνῃ, εὖ δ' ἀμφοτέροισι φαεινὸς Ὤμοις Ὠρίων, ξίφεός γε μὲν ἶφι πεποιθὼς —); in eo non putem quemquam consilium poetae agnoscere, qui, variegatae orationis studiosus, illuc rejecerit quae priori loco nemo non quaesiturus esset. Certe ex eo quod illic ea attinguntur non valet conclusio, superius suo loco eadem memorata non fuisse. Nam plane sic, quae de Ingeniculo v. 64. sqq. dicta sunt de situ ejus et figura, deque omnibus ignorato ejus nomine et persona, ea omnia infra 615. et 669. sqq. aliis verbis repetuntur.

Immo vero excidisse revera illa de Orione, eo quo significavimus modo conformata, ejus rei haud obscurum indicium praebere mihi videtur forma orationis qua ab Orione ad Canem in nostro textu statim a verbis illis, μὴ κεῖνου —— θηήσασθαι, transitur:

Τοῖός οἱ καὶ φρουρὸς κ. τ. λ.

post quae verba non Sirius modo stella, sed etiam reliqua Canis figura, Orionis tota imagine longe obscurior illa, paucis adumbratur. Quamvis enim ista Τοῖός οἱ καὶ — referri possint, et ut nunc ista leguntur referri debeant, ad mente concepta quaedam; longe probabilius tamen est, verbis illa expressa fuisse, quae a voce Τοῖος vel Τοῖοι itidem inciperent, atque ob id ipsum in transcribendo perierint.

Sane perantiquo tempore haec verba oblitterata esse oportet, cum non modo in scholiis nihil in eum sensum legatur, sed Cicero quoque et multum verbosus ille Avienus eorum nihil prorsus habeant. Sed antiqua quam plurima esse eorum, quae monumentis antiquorum inflicta sunt vulnera, id uti neminem latet criticorum, ita nos quoque haud raros tam altae originis lapsus apud Aratum offendimus. Cf. ad 188. Quod minime mirum esse debet in poëmate hodegetico, quod innumeris olim exemplis circumferebatur: cum praesertim tam diligens et velut anxia critice, certe in recentiorum hisce poetarum operibus, tempore Ciceronis non vigeret.

At enim apud unum tamen e tribus latinis interpretibus, Germanicum, expletam invenimus hanc lacunam. Quamvis enim neque ipse negem multa ab Arato commissa Germanicum correxisse, quaeque derelicta viderentur supplevisse: tamen ea quae hic apud illum inserta leguntur nimis ad amussim ita conformata sunt, qualia deperdita illa fuisse, ex aliis indiciis collegimus. Sic enim ille:

Tale caput magnique humeri, *sic* balteus exit,
Sic vagina ensis, pernici *sic* pede fulget.
Talis ei et custos aderit Canis ore timendo etc.

Haec itaque e suo Arateorum codice transtulisse Germanicum censeo. Integriora enim ad illum, cujus aetate tot instructissimae essent Romae bibliothecae, antiquorum librorum exempla pervenisse, quam antea ad Ciceronem, nemo, opinor, mirabitur.

INDEX.